Badische Landesbibliothek Karlsruhe

Digitale Sammlung der Badischen Landesbibliothek Karlsruhe

# Procli De Sphaera Liber I

Proclus <Diadochus>

Basiliae, 1561

Arati solensis apparentia

urn:nbn:de:bsz:31-248967

Visual Library

# ΑΡΑΤΟΥ ΣΟΛΕΩΣ
## ΦΑΙΝΟΜΕΝΑ.

Ἐκ Διὸς ἀρχώμεσθα, τὸν οὐδέποτ' ἄνδρες ἐῶμεν
Ἄῤῥητον. μεσταὶ δὲ Διὸς πᾶσαι μὲν ἀγυιαί·
Πᾶσαι δ' ἀνθρώπων ἀγοραί. μεστὴ δὲ θάλασσα,
Καὶ λιμένες. πάντῃ δὲ Διὸς κεχρήμεθα πάντες.
Τοῦ γὰρ καὶ γένος ἐσμέν. ὁ δ' ἤπιος ἀνθρώποισι
Δεξιὰ σημαίνει. λαοὺς δ' ἐπὶ ἔργον ἐγείρει,
Μιμνήσκων βιότοιο. λέγει δ' ὅτε βῶλος ἀρίστη
Βουσί τε καὶ μακέλῃσι. λέγει δ' ὅτε δεξιαὶ ὧραι,
Καὶ φυτὰ γυρῶσαι, καὶ σπέρματα πάντα βαλέσθαι.
Αὐτὸς γὰρ τάγε σήματ' ἐν οὐρανῷ ἐστήριξεν,
Ἄστρα διακρίνας. ἐσκέψατο δ' εἰς ἐνιαυτὸν
Ἀστέρας. οἵ κε μάλιστα τετυγμένα σημαίνοιεν 1
Ἀνδράσιν ὡράων, ὄφρ' ἔμπεδα πάντα φύωνται.
Τῷ μιν ἀεὶ πρῶτόν τε καὶ ὕστατον ἱλάσκονται.

Χαῖρε

# ARATI SOLENSIS APPARENTIA.

A IOVE principium: quem nũquam mittimus ipsi
Infatum. plena uerò Iouis omnia quidem compita:
Omnes uerò hominum cœtus: plenum uerò mare,
Et portus. Vbique autem Ioue indigemus omnes.
Huius etenim genus ſumus. Hic uerò beneuolus hominibus
Commoda ſignificat: populos autem ad opus excitat,
Commonens uictus. prædicat item quando gleba optima
Bobusq; & ligonibus: prædicat inquam quando ſecunda tempora
Et plantas ſcrobibus infodere, & ſemina quælibet iácere.
Ipſe enim ſigna in cœlo firmauit,
Sidera diſpertitus: prouidit uerò ad annum
Stellas, quæ potiſsimùm faciunda indicarent
Hominibus temporum, quo ſtata cuncta naſcerentur.
Eoq; ipſum ſemper primum que & ultimum placant.

Χαῖρε πάτερ μέγα θαῦμα, μέγ' ἀνθρώποισιν ὄνειαρ,
Αὐτὸς καὶ προτέρη γενεή. χαίροιτε δὲ μοῦσαι,
Μειλίχιαι μάλα πᾶσαι. ἐμοί γε μὲν ἀστέρας εἰπεῖν,
Εἰ θέμις εὐχομένῳ, τεκμήρατε πᾶσαν ἀοιδήν.
Οἱ μὲν ὁμῶς πολέες τε, καὶ ἄλλυδις ἄλλοι ἐόντες,
Οὐρανῷ ἕλκονται πάντ' ἤματα συνεχὲς αἰεί.
Αὐτὰρ ὅγ' οὐδ' ὀλίγον μετανίσεται, ἀλλὰ μάλ' αὔτως
Ἄξων αἰὲν ἄρηρεν. ἔχει δ' ἀτάλαντον ἁπάντῃ
Μεσσηγὺς γαῖαν. περὶ δ' οὐρανὸς αὐτὸν ἀγινεῖ.
Καί μιν πειραίνουσι δύο πόλοι ἀμφοτέρωθεν.
Ἀλλ' ὁ μὲν οὐκ ἐπίοπτος, ὁ δ' ἀντίος ἐκ Βορέαο,
Ὑψόθεν ὠκεανοῖο. δύω δέ μιν ἀμφὶς ἔχουσαι
Ἄρκτοι, ἅμα τροχόωσι. τὸ δὴ καλέονται ἅμαξαι.
Αἱ δή τοι κεφαλὰς μὲν ἐπ' ἰξύας αἰὲν ἔχουσιν
Ἀλλήλων. αἰεὶ δὲ κατωμάδιαι φορέονται,
Ἔμπαλιν εἰς ὤμους τετραμμέναι. εἰ ἐτεὸν δή,
Κρήτηθεν κεῖναι δὲ Διὸς μεγάλου ἰότητι
Οὐρανὸν εἰσανέβησαν, ὅ μιν τότε κουρίζοντα 2
Δίκτῳ ἐν εὐώδει ὄρεος σχεδὸν ἰδαίοιο
Ἄντρῳ ἐγκατέθεντο, καὶ ἔτρεφον εἰς ἐνιαυτόν,

Δικταῖοι

Salue pater, magna admiratio, magna hominibus utilitas:
Ipse, & prior generatio. Saluete uerò Musæ
Suauissimæ omnes, mihi quidem stellas dicendi,
Si fas oranti, promite omnem cantum.
Hæ quidẽ simul multæq́, & alibi aliæ existẽtes
Cœlo uoluuntur omnibus diebus continuò per æuum.
At ne tantillum quidem circumuertitur, sed planè immobiliter
Axis semper firmatus est: habetq́ æquilancinam omnino
In medio terram, circa autem cœlum hunc se uersat.
Etiam ipsum terminant duo poli utrinq;:
Verùm ille quidem non conspicuus, hic uerò oppositus est è Borea
Ex alto supra Oceanum. Duæ autem ipsum circumtenentes
Vrsæ, unà currunt: eoq́ uocantur plaustra.
Quæ scilicet capita quidem ad lumbos semper habent
Inuersim: semper uerò resupinæ circũferũtur,
Vicissim in humeros uersæ (si credere dignũ)
È Creta uerò illæ Iouis magni beneficio
2 Cœlum ascenderunt: quia ipsum olim infantientem
Dicto in odoro montem prope Idæum,
Antro imposuerũt, atq; nutrierũt per annum,

Δικταῖοι κούρητες ὅτε κρόνον ἐψεύδοντο.
Οἱ τὴν μὲν κυνόσουραν ἐπίκλησιν καλέουσι,
Τὴν δ' ἑτέρην, ἑλίκην. ἑλίκῃ γε μὲν ἄνδρες ἀ-
χαιοὶ
Εἰν ἁλὶ τεκμαίρονται ἵνα χρὴ νῆας ἀγινεῖν.
Τῇ δ' ἄρα φοίνικες πίσυνοι περόωσι θάλασσαν.
Ἀλλ' ἡ μὲν καθαρὴ, καὶ ἐπιφράσσασθαι ἑτοίμη.
Πολλὴ φαινομένη ἑλίκη πρώτης ἀπὸ νυκτός.
Ἡ δ' ἑτέρη ὀλίγη μὲν, ἀτὰρ ναύτῃσιν ἀρείων·
Μειοτέρῃ γὰρ πᾶσα περιστρέφεται στροφάλιγγι.
Τῇ καὶ σιδόνιοι ἰθύντατα ναυτίλλονται.
Τὰς δὲ δι' ἀμφοτέρας, οἵη ποταμοῖο ἀπορρὼξ,
Εἰλεῖται, μέγα θαῦμα, δράκων περί τ' ἀμφί τ'
ἐαγὼς
Μυρίος. αἱ δ' ἄρα οἱ σπείρης ἑκάτερθε φύονται
Ἄρκτοι, κυανέου πεφυλαγμέναι ὠκεανοῖο.
Αὐτὰρ ὅγ' ἄλλην μὲν νεάτῃ ἐπιτείνεται οὐρῇ,
Ἄλλην δὲ σπείρῃ περιτέμνεται. ἡ μέν οἱ ἄκρη
Οὐρὴ πὰρ κεφαλὴν ἑλίκης ἀναπαύεται ἄρκτου.
Σπείρῃ δ' ἐν κυνόσουρα κάρη ἔχει. ἡ δὲ κατ' αὐτὴν
Εἰλεῖται κεφαλὴν, καί οἱ ποδὸς ἔρχεται ἄχρις.
Ἐκ δ' αὖτις παλίνορσος ἀνατρέχει. οὐ μὲν
ἐκείνῃ
Οἰόθεν, οὐδ' οἶος κεφαλῇ ἐπιλάμπεται ἀστήρ.

Ἀλλὰ

Dictæi Curetes quando Saturnum fallebant.
Qui hanc quidem Cynosuram cognomine dicunt,
Alteram uerò Helicen. Helice quidem uiri Achiui
In mari signant, quò oporteat naues dirigere:
Altera uerò Phœnices fisi, persulcant mare.
At Helice quidem clara est, ac obseruatu parata,
Multa lucens prima à nocte:
Altera uerò obscura quidẽ, sed nautis aptior:
Minori enim tota circumuersatur orbe.
Hac quoq; Sidonij rectissimè nauigant.
Has uerò per ambas, qualis fluuij decursus
Volutatur (horrendum ingens) draco circumcirca distractus
Immensus. Verùm ei ex utraque parte spiræ hærent
Vrsæ, cæruleo seruatæ Oceano.
Sed hic alterã quidã extrema emetitur cauda,
Alteram uerò spira circumscribit. ei quidem summa
Cauda ad caput Helices quiescit Vrsæ:
In spira uerò Cynosura caput habet: hæc autem circum ipsum
Gyratur caput: eiq; ad pedem uenit usq;.
Rursus uerò retrofugus recurrit, non quidem illa
Ex sola parte: neque sola in capite splendet stella,

Ἀλλὰ δύο κροτάφοις, δύο δ' ὄμμασιν, εἷς δ' ὑ-
πένερθεν
Ἐσχατιὴν ἐπέχει γένυος δεινοῖο πελώρου.
Λοξὸν δ' ἐστὶ κάρη. νεύοντι δὲ πάμπαν ἔοικεν
Ἄκρην εἰς ἑλίκης οὐρήν. μάλα δ' ἐστὶ κατ' ἰθὺ
Καὶ στόμα καὶ κροτάφοιο τὰ δεξιὰ νειάτῳ οὐρῇ.
Κείνη που κεφαλὴ τῇ νήχεται, ἧχί περ ἄκραι 3
Μίσγονται δύσιές τε καὶ ἀντολίαι ἀλλήλῃσι.
Τῆς δ' αὐτοῦ μογέοντι κυλίνδεται ἀνδρὶ ἐ-
οικὸς
Εἴδωλον. τὸ μὲν οὔτις ἐπίσταται ἀμφαδὸν εἰ-
πεῖν,
Οὐδ' ᾧ τινι κρέμαται κεῖνος πόνῳ, ἀλλά μιν
αὔτως
Ἐνγόνασι καλέουσι, τὸ δ' αὖτ' ἐν γούνασι κάμνον 4
Ὀκλάζοντι ἔοικεν. ἐπ' ἀμφοτέρων δέ οἱ ὤμων
Χεῖρες ἀείρονται. τάνυται γέ μὲν ἄλλυδις ἄλλη
Ὅσσον ἐς ὀργυιήν. μέσσῳ δ' ἐφύπερθε καρήνῳ
Δεξιτεροῦ ποδὸς ἄκρον ἔχει σκολιοῖο δράκοντος.
Αὐτοῦ κἀκεῖνος στέφανος, τὸν ἀγαυὸν ἔθηκε
Σῆμ' ἔμεναι Διόνυσος ἀποιχομένης ἀριάδνης,
Νώτῳ ὑποστρέφεται κεκμηότος εἰδώλοιο.
Νώτῳ μὲν στέφανος πελάει. κεφαλῇ γε μὲν ἄκρῃ
Σκέπτεο πὰρ κεφαλὴν ὀφιούχου. ἐκ δ' ἄρ' ἐκείνης

Αὐτὸν

Sed duæ in temporibus, duæ uerò in oculis: unus autem inferius
Extremitatem occupat genæ horrendi mõſtri.
Incuruum autem eſt caput, nutanti uerò prorſus aſsimilatum eſt
Extremam in Helices caudam: omnino uerò ſunt ex directo
Et os & temporis dextera extremæ caudæ.
3 Illud fermè caput hac natat, ubi quidem extremi
Miſcentur occaſusq; & ortus ſibi inuicem.
Hoc uerò propè laborãti uoluitur uiro ſimile
Idolum, quod quidem nemo ſcit manifeſtò dicere:
Neq; cui incumbat ille labori: ſed ipſum uulgò
4 Engonaſi uocant: eo quòd in genubus laborans,
Geniculanti ſimile eſt; ſuper ambabus uerò ei humeris
Manus eleuantur: diſtenditur certè hinc inde
Quantum ad manuum paſſum. medio uerò ſuper capite
Dextri pedis imum habet tortuoſi draconis.
Ibidem & illa corona, quam lucidum poſuit
Signum eſſe Bacchus morientis Ariadnæ,
Humero ſubuoluitur fatigati idoli,
Humero quidem Corona uicina eſt. caput uerò ſummum
Obſerua iuxta caput Serpentarij: ex illo nanq;

Αὐτὸν ὑπὲρ φράσσαιο φαεινόμενον ὀφιοῦχον.
Τοῖοί οἱ κεφαλῇ ὑποκείμενοι ἀγλαοὶ ὦμοι
Εἴδονται. κεῖνοί γε καὶ ἂν διχόμηνι σελήνῃ
Εἰσωποὶ τελέθοιεν. ἀτὰρ χέρες οὐ μάλα ἶσαι.
Λεπτὴ γὰρ τῇ καὶ τῇ ἐπιδέδρομεν αἴγλη.
Ἀλλ' ἔμπης κἀκεῖναι ἐπόψιαι, οὐ γὰρ
ἐλαφραί.
Ἀμφότεραι δ' ὄφιος πεπονέαται, ὅς ῥά τε
μέσσον
Δινεύει ὀφιοῦχον. ὁ δ' ἐμμενὲς εὖ ἐπαρηρὼς
Ποσσὶν ἐπιθλίβει μέγα θηρίον ἀμφοτέροισι
Σκορπίον, ὀφθαλμῷ τε καὶ ἐν θώρηκι βεβηκὼς
Ὀρθός. ἀτάρ οἱ ὄφις γε δύο στρέφεται μετὰ χερ-
σίν,
Δεξιτερῇ ὀλίγος, σκαιῇ γε μὲν ὑψόθι πολλός.
Καὶ δή οἱ στεφάνῳ παρακέκλιται ἄκρα γένεια.
Νειόθι δὲ σπείρης μεγάλας ἐπιμαίεο χηλάς.
Ἀλλ' αἱ μὲν φαέων ἐπιδευέες, οὐδὲν ἀγαυαί.
Ἐξόπιθεν δ' ἑλίκης φέρεται ἐλάοντι ἐοικὼς
Ἀρκτοφύλαξ. τόν ῥ' ἄνδρες ἐπικλείουσι
Βοώτην,
Οὕνεχ' ἁμαξαίης ἐπαφώμενος εἴδεται ἄρκτου.
Καὶ μάλα πᾶς ἀρίδηλος. ὑπὸ ζώνῃ δέ οἱ
αὐτὸς

Ipſum deprehendas licet ſplendidum Serpentarium.
Quales ſibi capiti ſubiacentes clari humeri
Apparent: ij quidem etiam plena luna
Conſpicuæ eſſent. Sed manus non admodum æquales:
Tenuis nanq; hinc inde exit ſplendor:
Attamen etiam illæ contemplabiles: non enim modicæ ſunt.
Ambæ autem ſerpente fatigantur: qui quidem medium
Inuoluit Serpentarium: hic uerò conſtanter apteq; innixus
Pedibus conterit magnam feram ambobus
Scorpium, oculoq; & in pectore calcans
Rectus: ſed ei ſerpens ambas uoluitur per manus,
Dexteram modicus, ſiniſtram uerò supernè multus.
Atque ei ſanè Coronam attingunt ſupremæ genæ.
Subter ſpiram autem magnas inquire Chelas:
Sed hæ quidem luminum indigæ, nequaquam ſplendidæ,
At poſt Helicen circumfertur auriganti ſimilis
Arctophylax, quem quidem homines cognominant Booten,
Eo quòd plauſtrum contrectare uidetur Vrſę:
Atque adeò totus perſpicuus eſt, ſub zona uerò ſibi ipſe

Ἐξ ἄλλων ἀρκτοῦρος ἑλίσσεται ἀμφαδὸν ἀστήρ.
Ἀμφοτέροισι δὲ ποσσὶν ὑποσκέψαιο Βοώτου
Παρθένον. ἥ ῥ' ἐν χειρὶ φέρει στάχυν αἰγλήεντα.
Εἴτ' οὖν ἀστραίου κείνη γένος, ὅν ῥά τέ φασιν
Ἄστρων ἀρχαῖον πατέρ' ἔμμεναι, εἴτε τευ ἄλλου,
Εὔκηλος φορέοιτο. λόγος γε μὲν ἐντρέχει ἄλλος
Ἀνθρώποις, ὡς δῆθεν ἐπιχθονίη πάρος ἦεν.
Ἤρχετο δ' ἀνθρώπων κατεναντίη, οὐδέ ποτ' ἀνδρῶν,
Οὐδέ ποτ' ἀρχαίων ἠνήνατο φῦλα γυναικῶν.
Ἀλλ' ἀναμὶξ ἐκάθητο καὶ ἀθανάτη περ ἐοῦσα.
Καί ἑ Δίκην καλέεσκον. ἀγειρομένη δὲ γέροντας,
Ἠέ που εἰν ἀγορῇ, ἢ εὐρυχόρῳ ἐν ἀγυιῇ,
Δημοτέρας ἤειδεν ἐπισπέρχουσα θέμιστας. 6
Οὔπω λευγαλέου τότε νείκεος ἠπίσταντο,
Οὐδὲ διακρίσιος περιμεμφέος, οὐδὲ κυδοιμοῦ.
Αὔτως δ' ἔζωον. χαλεπὴ δ' ἀπέκειτο θάλασσα,
Καὶ βίον οὔπω νῆες ἀπόπροθεν ἠγίνεσκον,
Ἀλλὰ βόες ἄροτρα, καὶ αὐτὴ πότνια λαῶν
Μυρία πάντα παρεῖχε Δίκη δώτειρα δικαίων.

Τόφρ'

Præ alijs Arcturus obuoluitur lucida ſtella.
Verùm ambobus ſub pedibus obſeruato bubulci
Virginem: quæ quidem in manibus gerit ſpicam ſplendidam.
Siue igitur Aſtræi illa proles, quem utiq; ferũt
Aſtrorum primæuorum patrem eſſe, ſiue cuiuſpiam alius,
Secura uerſetur. fabula certè incidit alia
Hominibus, quod ferè in terra conuerſata quondam ſit.
Veniebat autem hominum in conſpectum: nec unquam uirorum.
Nec unquam ueterum recuſabat cœtus mulierum:
Sed permixtim conſidebat quamuis immortalis eſſet.
Atq; ipſam Iuſticiam uocabant. congregans autem ſenes,
Aut alicubi in foro, aut propatulo in compito,
Ciuiles monſtrabat ſtudioſa leges.
Nondum pernicioſam tunc litem norant,
Nec diſceptationem contentioſam, neque ſeditionem:
Sed ſimpliciter uiuebant, periculoſum autem procul aberat mare:
Atque uictum nondum naues è longinquo ducebant,
Sed boues aratra: etiã ipſa domina populorũ
Copioſa omnia ſuppeditabat Iuſticia datrix iuſtorum.

Tamdiu

Τόφρ' ἦν ὄφρ' ἔτι γαῖα γένος χρύσειον ἔφερβεν.
Ἀργυρέῳ δ' ὀλίγη τε καὶ οὐκέτι πάμπαν ἑτοίμη
Ὡμίλει, ποθέουσα παλαιῶν ἤθεα λαῶν.
Ἀλλ' ἔμπης ἔτι κεῖνο κατ' ἀργύρεον γένος ἦεν.
Ἤρχετο δ' ἐξ ὀρέων ὑποδείελος ἠχηέντων
Μουνάξ. οὐδέ τεῳ ἐπεμίσγετο μειλιχίοισιν.
Ἀλλ' ὁπότ' ἀνθρώπων μεγάλας πλήσαιτο κολώνας,
Ἠπείλει δ' ἤπειτα καθαπτομένη κακότητος.
Οὐδ' ἔτ' ἔφη εἰσωπὸς ἐλεύσεσθαι καλέουσιν.
Οἵην χρύσειοι πατέρες γενεὴν ἐλίποντο
Χειροτέρην. ὑμεῖς δὲ κακώτερα τεξείεσθε.
Καὶ δή που πόλεμοι καὶ δὴ καὶ ἀνάρσιον αἷμα
Ἔσσεται ἀνθρώποισι. κακοῦ δ' ἐπικείσεται ἄλγος.
Ὣς εἰποῦσ' ὀρέων ἐπεμαίετο. τοὺς δ' ἄρα λαοὺς
Εἰς αὐτὴν ἔτι πάμπαν ἐλίμπανε παπταίνοντας.
Ἀλλ' ὅτε δὴ κἀκεῖνοι ἐτέθνασαν, οἱ δ' ἐγένοντο,
Χαλκείη γενεή, προτέρων ὀλοώτεροι ἄνδρες.
Οἳ πρῶτοι κακοεργὸν ἐχαλκεύσαντο μάχαιραν
Εἰνοδίην, πρῶτοι δὲ βοῶν ἐπάσαντ' ἀροτήρων.
Καὶ τότε μισήσασα δίκη κείνων γένος ἀνδρῶν,

Ἔπταθ'

Tamdiu aderat quamdiu item terra genus aureum fouebat.
Argenteo autem raraq; & non amplius omnino parata
Conuersabat, desiderans ueterum mores populorum:
Veruntamē adhuc illo in argēteo seculo erat:
Sed ueniebat è mōtib. post crepusculū argutis
Solitaria : neque cuiquam congrediebatur blanditijs.
Verùm quando hominum magnas impleuisset urbes,
Increpabat subinde carpens malitiam.
Neq; amplius, inquit, uisendam me dabo uenire rogantibus.
Mirum quàm aurei patres seculum reliquerint
Deterius: uos autem peiora generabitis.
Tunc scilicet bella atque etiam promiscuè fusus cruor
Futurus est hominibus malo autem impendebit dolor.
Sic locuta montes repetebat. Verùm populos
In ipsam adhuc, prorsus deserebat, oculos con ijcientes.
Cæterū quãdo etiã illi obierunt, alij nati sunt,
Ænea ętas, prioribus perniciosiores homines.
Qui primi maleficum fabricarunt gladium
Viatorium: primi etiam boues edere ceperunt operarios.
Atq; tunc exosa Iusticia illorū genus hominū,

Volauit

Επταθ' ὑπουρανίη. ταύτην δ' ἄρα νάσσατο χώρην
Ηχί περ ἐννυχίη ἔτι φαίνεται ἀνθρώποισι
Παρθένος, ἐγγὺς ἐοῦσα πολυσκέπτοιο Βοώτου.
Τῆς ὑπὲρ ἀμφοτέρων ὤμων εἱλίσσεται ἀστὴρ
Δεξιτερῇ πτέρυγι, προτρυγητὴρ δ' αὖτε καλεῖται.
Τόσσος μὲν μεγέθει, τοίῃ δ' ἐγκείμενος αἴγλῃ,
Οἷος καὶ μεγάλης οὐρὴν ὑποφαίνεται ἄρκτου.
Δεινὴ γὰρ κείνη, δεινοὶ δέ οἱ ἐγγύθεν εἰσὶν
Αστέρες. οὐκ ἂν τούς γ' εἰδὼν ἐπιτεκμήραιο.
Οἷός οἱ πρὸ ποδῶν φέρεται καλός τε μέγας τε,
Εἷς μὲν ὑπ' ὠμαίων, εἷς δ' ἰξυόθεν κατιόντων,
Αλλος δ' οὐραίοις ὑπὸ γούνασιν. ἀλλ' ἄρα πάντες
Απλόοι ἄλλοθεν ἄλλος ἀνώνυμοι φορέονται.
Κρατὶ δέ οἱ δίδυμοι. μέσσῃ δ' ὑπὸ καρκίνος ἐστί.
Ποσσὶ δ' ὑπ' ἀμφοτέροισι λέων ὑπὸ καλὰ φαείνει.
Ενθα μὲν ἠελίοιο θερείταταί εἰσι κέλευθοι.
Αἱ δέ που ἀσταχύων κεινεαὶ φαίνονται ἄρουραι
Ηελίου τὰ πρῶτα συνερχομένοιο λέοντι.
Τῆμος καὶ κελάδοντες ἐτησίαι εὐρέϊ πόντῳ
Αθρόοι ἐμπίπτουσι. ὁ δὲ πλόος οὐκέτι κώπαις
Ωριος, εὐρεῖαί μοι ἀρέσκοιεν τότε νῆες,

Εἰς

Volauit ſub cœlum: eamq́; fortè occupauit regionem,
Vbi nam nocturna adhuc cernitur hominibus
Virgo uicinè exiſtens perſpicuo bubulco.
Cuius ſuper ambobus humeris circumuertitur ſtella
Ad dexterã alã, præuindemiator aũt uocatur:
Tanta quidem magnitudine, taliq́; inſidens ſplendori,
Qualis etiam magnæ ſub cauda lucet urſæ.
Ardens profectò illa, ardentes etiam ei cominus ſunt
Stellæ. nec forſan haſce contuitus tibi inquiſitione opus fuerit.
Qualis ei ante pedes fertur claraq́; magnaq́;,
Vna quoque ſub humeris, una item lumbotenus obeuntium,
Alia præterea poſterioribus ſub genubus, aliæ uerò omnes
Mediocres alibi alia ſine nomẽclatura ferũtur.
Capiti aũt ei Gemini, medię uerò Cãcer ſubeſt:
At pedibus ſub ambobus Leo clarè ſublucet.
Ibi quidem ſolis ardentiſsimi ſunt curſus,
Atq; tum ſpicarum uacua apparent arua,
Sole primum accedente Leonem.
Tunc etiam ſuſurrantes Eteſiæ uaſtũ pontum
Clomerati irruunt: nauigatio autem non amplius remis
Tempeſtiua eſt: magnæ mihi placerent tunc naues:

Εἰς ἄνεμον δὲ τὰ πολλὰ κυβερνητῆρες ἔχουσιν.
Εἰ δέ τοι ἡνίοχόν τε καὶ ἀστέρας ἡνιόχοιο
Σκέπτεσθαι δοκέοι, καί τοι φάτις ἤλυθεν αἰγὸς
Αὐτῆς, ἠδ' ἐρίφων, οἵ τ' εἰν ἁλὶ πορφυρέουσῃ
Πολλάκις ἐσκέψαντο κεδαιομένους ἀνθρώπους,
Αὐτὸν μὲν μιν ἅπαντα μέγαν Διδύμων ἐπὶ λαιᾷ
Κεκλιμένον δήεις. ἑλίκης δέ οἱ ἄκρα κάρηνα
Ἀντία δινεύει. σκαιῷ δ' ἐπελήλαται ὤμῳ
Αἲξ ἱερή. τὴν μέν τε λόγος Διὶ μαζὸν ἐπισχεῖν.
Ὠλενίην δέ μιν αἶγα Διὸς καλέουσ' ὑποφῆται.
Ἀλλ' ἡ μὲν πολλή τε καὶ ἀγλαή. οἱ δέ οἱ αὐτοῦ
Λεπτὰ φαείνονται ἔριφοι καρπὸν κατὰ χειρός.
Πὰρ ποσὶ δ' ἡνιόχου κεραὸν πεπτηότα ταῦρον
Μαίεσθαι. τὰ δέ οἱ μάλ' ἐοικότα σήματα κεῖται,
Τοίη οἱ κεφαλὴ διακέκριται; οὐδέ τις ἄλλῳ
Σήματι τεκμήραιτο κάρη βοός, οἷά μιν αὐτοὶ
Ἀστέρες ἀμφοτέρωθεν ἑλισσόμενοι τυπόωσι.
Καὶ λίην κεῖνον ὄνομ' εἴρεται. οὐδέ τοι αὔτως
Νήκουστοι Ὑάδες. ταὶ μέν ῥα κατὰ παντὶ μετώπῳ

Contra uentum uerò gubernacula rectores
teneant oportet.
Porrò si tibi Aurigam & stellas Aurigæ
Contemplari uideatur, etiam mentio incide-
rit Capræ
Ipsius, atq; Hœdorum (qui in mari nigrescente
Sæpe contuiti sunt iactatos homines)
Eum quidem ipsum totum & ingentem Ge-
minorum sub læua
Acclinatum inuenies: Helices autem ei sum-
mum caput
E regione obuersatur. uerùm sinistro superin-
cumbit humero
Capra religiosa, quam fabula est Ioui mam-
mam præbuisse.
Oleniã uerò ipsã Caprã Iouis uocãt subuates.
Atq; hæc quidem multaq; & splendida: uerùm
ei ibidem
Obscurè lucent Hœdi in iunctura manus.
Prope pedes autem Aurigæ cornutum expan
sum Taurum
Scrutare. atqui ei ualde consimilia indicia po-
nuntur:
Quale ipsi caput interstinctum est: neque quis-
piam alio
Argumento coniecturarit caput bouis. Qua-
liter id ipsæ
Stellæ utrinq; circunductæ configurant:
Etiã crebrò eorũ nomẽ memoratur, neq; adeò
Incelebres Hyades, quæ scilicet per totã frõtẽ

Ταύρου βεβλέαται. λαιοῦ δὲ κέρατος ἄκρον,
Καὶ πόδα δεξιτερὸν παρακείμενον ἡνιόχοιο,
Εἷς ἀστὴρ ἐπέχει. συνεληλάμενοι δὲ φέρονται.
Ἀλλ᾽ αἰεὶ ταῦρος προφερέστερος ἡνιόχοιο
Εἰς ἑτέρην καταβῆναι. ὁμιλυσίη περ ἀνελθών.
Οὐδ᾽ ἄρα κηφῆος μογερὸν γένος ἰασίδαο
Αὔτως ἄῤῥητον κατακείσεται. ἀλλ᾽ ἄρα καὶ τῶν
Οὐρανὸν εἰς ὄνομ᾽ ἦλθεν, ἐπεὶ διὸς ἐγγύθεν ἦσαν.
Αὐτὸς μὲν κατόπισθεν ἐὼν κυνοσουρίδος ἄρκτου
Κηφεὺς, ἀμφοτέρας χεῖρας τανύοντι ἐοικώς.
Ἴση οἱ στάθμη νεάτης ἀποτείνεται οὐρῆς
Ἐς πόδας ἀμφοτέρους, ὅση ποδὸς ἐς πόδα τείνει.
Αὐτὰρ ἀπὸ ζώνης ὀλίγον κε μεταβλέψειας
Πρώτης ἱέμενος καμπῆς μεγάλοιο δράκοντος.
Τοῦ δ᾽ ἄρα δαιμονίη προκυλίνδεται, οὐ μάλα πολλὴ
Νυκτὶ φαεινομένη παμμηνίδι, κασσιέπεια.
Οὐ γάρ μιν πολλοὶ καὶ ἐπημοιβοὶ γανόωσιν
Ἀστέρες, οἵ μιν πᾶσαν ἐπιῤῥήδην στιχόωσιν.
Οἵη δὲ κληῗδι θύρην ἔνδοθ᾽ ἀραρυῖαν 7
Δικλίδ᾽ ἐπιπλήσσοντες ἀνακρούουσιν ὀχῆας,
Τοῖοί οἱ μουνὰξ ὑποκείμενοι ἰνδάλλονται
Ἀστέρες. ἡ δ᾽ αὔτως ὀλίγων ἀποτείνεται ὤμων
ὀργυιήν.

Tauri ſparſæ ſunt: ſiniſtri autem cornu ſummitatem
Et pedem dexterum adiacentem Aurigæ
Vnica ſtella complectitur: ſimul agitati item feruntur:
Attamen ſemper Taurus pronior Auriga
In occaſum deſcendendo, pari aſcenſu alioquin exortus.
Neq; certè Cephei ærumnoſa familia Iaſidæ
Omnino ignobilis iacebit: quinetiam horum
In cœlum nomen peruenit: ſiquidem Iouis cognati erant,
Ipſe quidem à tergo exiſtens Cynoſuræ urſæ
Cepheus, ambas manus pandenti ſimilis.
Tanta ei linea ab extrema tenditur cauda
In pedes ambos, quanta à pede in pedem tendit.
Cæterum à cingulo parũper reſpicere poteris
Primam petens flexuram magni draconis.
Ante hunc autem infelix uoluitur, non admodum multa
Nocte lucens plenilunari, Caſsiepia:
Neque enim ipſam multæ & frequentes illuſtrant
Stellæ, quæ eam totam ſparſim componunt.
7 Qualem uerò ſera ianuam intus munitam
Biforibus concurrentes reuerberant uectes,
Tales ſingulatim ſubiectæ figurant
Stellæ. atque hæc itidem modicis tendit ab humeris

Ὀργυιῇ. φαίης κεν ἀνιάζειν ἐπὶ παιδί.
Αὐτοῦ γὰρ κἀκεῖνο κυλίνδεται αἰνὸν ἄγαλμα
Ἀνδρομέδης, ὑπὸ μητρὶ κεκασμένον. οὐ σε μάλ' οἴω
Νύκτα περισκέψασθαι, ἵν' αὐτίκα μᾶλλον ἴδηαι.
Τοίη οἱ κεφαλή. τοῖοι δέ οἱ ἀμφοτέρωθεν
Ὦμοι, καὶ πόδες ἀκρότατοι, καὶ ζώματα πάντα.
Ἀλλ' ἔμπης κἀκεῖθι διωλενίη τετάνυσται.
Δεσμὰ δέ οἱ κεῖται καὶ ἐν οὐρανῷ, αἳ δ' ἀνέχονται
Αὐτοῦ πεπταμέναι πάντ' ἤματα χεῖρες ἐκεῖναι.
Ἀλλ' ἄρα οἱ καὶ κρατὶ πέλωρ ἐπελήλαται Ἵππος
Γαστέρι νειαίρῃ. ξυνὸς δ' ἐπιλάμπεται ἀστὴρ,
Τοῦ μὲν ἐπ' ὀμφαλίῳ, τῆς δ' ἐσχατόωντι καρήνῳ.
Οἱ δ' ἄρ' ἔτι τρεῖς ἄλλοι ἐπὶ πλευραῖς τε καὶ ὤμους
Ἵππου, δεικανόωσι διαστάδιον ἶσα πέλεθρα,
Καλοὶ καὶ μεγάλοι. κεφαλὴ δέ οἱ οὐδὲν ὁμοίη,
Οὐδ' αὐχὴν δολιχός περ ἐών. ἀτὰρ ἔσχατος ἀστὴρ
Αἰθομένης γένυος καί κεν προτέροις ἐρίσειε
Τέτρασιν, οἵ μιν ἔχουσι περίσκεπτοι μάλ' ἐόντες.

Οὐδ'

Passum: diceres profectò angi propter filiam.
Ibi nanque & illud obuoluitur triste simulacrum
Andromedæ, sub mare constellatum. haud te multum opinor
Noctē disquirere, quò mox potius intuearis.
Tam clarum ei caput est; tam clari item ei utrinque
Humeri, & pedes extremi, & cincturæ omnes.
Etiamnum & illic secundum brachia propansa est.
Vincula item ei admota sunt etiam in cœlo: retinentur autem
Illic expassæ omnibus diebus manus illæ.
Sedenim ei etiam supra caput ingens uolutatur equus,
Ventre extremo: communis autem fulget stella,
Huius quidem in umbilico, illius uerò in extremo capite.
Præterea autem tres aliæ intra latera & armos
Equi, signant distanter æqualia spacia,
Claræ & magnæ. uerùm caput ei haudquaquam simile,
Neq; ceruix, longa alioqui existens: tamen extrema stella
Fulgentis genæ etiamnum prioribus concertaret
Quatuor, quæ ipsum continent, conspicuæ planè existentes.

Οὐδ' ὅγε τετράπος ἐστίν. ἀπ' ὀμφαλίου γὰρ ἄκρου
Μεσόθεν ἡμιτελὴς περιτέλλεται ἱερὸς ἵππος.
Κεῖνον δὴ καὶ φασὶ καθ' ὑψηλοῦ ἑλικῶνος
Καλὸν ὕδωρ ἀγαγεῖν εὐαλδέος ἵππου κρήνης.
Οὐ γάρ που ἑλικὼν ἄκρος κατελείβετο πηγαῖς.
Αλλ' ἵππος μιν ἔτυψε. τὸ δ' ἀθρόον αὐτόθεν ὕδωρ
Εξέχυτο πληγῇ προτέρου ποδός. οἱ δὲ νομῆες
Πρῶτοι κεῖνο ποτὸν διεφήμισαν ἵππου κρήνην.
Αλλὰ τὸ μὲν πέτρης ἀπολείβεται. οὐδέποτ' αὐτὸ
Θεσπιέων ἀνδρῶν ἑκὰς ὄψεαι. αὐτὰρ ὁ ἵππος
Ενδιος εἰλεῖται. καί τοι, πάρα θηήσασθαι,
Αὐτοῦ καὶ κριοῖο θοώταται εἰσὶ κέλευθοι.
Ος ῥά τε καὶ μήκιστα διωκόμενος περὶ κύκλα,
Οὐδὲν ἀφαυρότερον τροχάει κυνοσουρίδος ἄρκτου.
Αὐτὸς μὲν νωθὴς καὶ ἀνάστερος οἷα σελήνῃ
Σκέψασθαι. ζώνῃ δ' ἂν ὅμως ἐπιτεκμήραιο
Ανδρομέδης, ὀλίγον γὰρ ὑπ' αὐτὴν ἐστήρικται.
Μεσόθι δὲ τρίβει μέγαν οὐρανὸν ἧχί περ ἄκραι
Χηλαὶ καὶ ζώνη περιτέλλεται ὠρίωνος.
Εστι δέ τοι καὶ ἔτ' ἄλλο τετυγμένον ἐγγύθι σῆμα

Νειόθεν

Nec uerò hic quadrupes est:ab umbilico nanque extremo
Dimidio semiperfectus exoritur sacer equus.
Hunc etiam aiunt in excelso Helicone
Pulchram aquam produxisse largi equi fontis.
Nec unquam enim Helicon summus destillarat fontibus:
Verùm equus ipsum ferijt,atque copiosa inde aqua
Effusa est ictu prioris pedis.pastores autem
Primi hunc potum appellarunt Equi fontem.
Atq; hic quidem è rupe stillat:nec modò ipsum
A Thespiensibus uiris longè cernes. Cæterum equus
In cœlo obuersatur.Atq; (propè spectato)
Illic etiam Arietis celerrimi sunt cursus:
Qui sanè uel longissimos agitatus per orbes,
Nihilo segnius currit Cynosura ursa.
Ipse quidem languidus & obscurus, utpote luna
Obseruando. ueruntamen per cingulum deprehendere poteris
Andromedæ: haud longè enim sub ipsam situs est.
In medio autem terit magnum cœlum, ubinam summæ
Chelæ,& cingulus circumagitur Orionis.
Est uerò adhuc aliud dispositum prope signum

Νειόθεν Ἀνδρομέδης, τὸ δ' ἐπὶ τρισὶν ἐστάθμηται
Δελτωτὸν πλευρῇσιν, ἰσαιομένῃσιν ἐοικὸς
Ἀμφοτέρῃς. ἡ δ' οὔτι τόση, μάλα δ' ἐστὶν ἑτοίμη
Εὑρέσθαι. περὶ γὰρ πολέων εὐάστερός ἐστι
Τῶν, ὀλίγον κριοῦ νοτιώτεροι ἀστέρες εἰσίν.
Οἱ δ' ἄρ' ἔτι προτέρω. ἔτι δ' ἐν προβολῇσι
νότοιο
Ἰχθύες. ἀλλ' αἰεὶ ἕτερος προφερέστερος ἄλλου,
Καὶ μᾶλλον Βορέαο νέον κατιόντος ἀκούει.
Ἀμφοτέρων δέ σφεων ἀποτείνεται ἠύτε δεσμὰ
Οὐραίων ἑκάτερθεν ἐπισχερῶ εἰς ἓν ἰόντων.
Καὶ τὰ μὲν εἷς ἀστὴρ ἐπέχει καλός τε μέγας τε,
Ὅν ῥά τε καὶ σύνδεσμον ὑπούραιον καλέουσιν.
Ἀνδρομέδης δέ τοι ὦμος ἀριστερὸς ἰχθύος ἔστω
Σῆμα βορειοτέρου. μάλα γάρ νύ οἱ ἐγγύθεν
ἐστίν.
Ἀμφότεροι δὲ πόδες γαμβροῦ ἐπισημαίνοιεν
Περσέος, οἵ ῥά οἱ αἰὲν ἐπωμάδιοι φορέονται.
Αὐτὰρ ὅγ' ἐν Βορέῳ φέρεται περιμήκετος ἄλλων.
Καί οἱ δεξιτερὴ μὲν ἐπὶ κλισμὸν τετάνυσται
Πενθερίου δίφροιο. τὰ δ' ἐν ποσὶν οἷα διώκων
Ἴχνια μηκύνει, κεκονισμένος ἐν Διὶ πατρί.
Ἄγχι δέ οἱ σκαιῆς ἐπιγουνίδος ἤλιθα
πᾶσαι

Πλειάδες

Subter Andromedã:id aũt ad tria dimẽſum eſt
Deltotum latera, æqualibus aſsimilatum
Duobus: tertium uerò non tantùm, tamen admodum facilè eſt
Inuentu: præ multis enim fulgidum eſt:
Quibus paululum Arietis auſtraliores ſtellæ ſunt:
Illæ uerò adhuc anterius. Præterea autem in procurſibus auſtri
Piſces: ſed ſemper alter propior altero:
Atque magis Boream recenter deſcendentem ſentit.
Ab ambobus uerò ipſis tẽdũtur quaſi uincula
E caudis utrinq; ſequẽter in unũ coẽuntibus.
Et hæc quidem una ſtella connectit clara que, magnaq;:
Quam utiq; etiam colligaturam ſubcaudinam uocant.
Porrò Andromedę humerus ſiniſter piſcis eſto
Index ſeptentrionalioris: admodum nanque ei uicinè eſt.
Ambo autẽ pedes ſponſum indicare poterunt
Perſea, qui quidem ei ſemper ob humeros uoluuntur.
Verùm hic in boreali parte fertur maximus aliorum:
Atq; ei dextera quidẽ ad lecticam protenſa eſt
Socrinę ſellę. in pedibus aũt uelut perſequens
Veſtigia diſtendit, fatigatus in Dio patre.
At ei prope ſiniſtrum genu aceruatim omnes

Pleiades

Πληϊάδες φορέονται. ὁ δ' οὐ μάλα πολλὸς ἁπάσας
Χῶρος ἔχει. καὶ δ' αὐταὶ ἐπισκέψασθαι ἀφαυραί.
Ἑπτάποροι δὴ ταίγε μετ' ἀνθρώπους ὑδέονται,
Ἓξ οἶαί περ ἐοῦσαι ἐπόψιαι ὀφθαλμοῖσιν.
Οὐ μέν πως ἀπόλωλεν ἀπευθὴς ἐκ διὸς ἀστὴρ,
Ἐξ οὗ καὶ γενεῆθεν ἀκούομεν. ἀλλὰ μάλ' αὔτως
Εἴρεται. ἑπτὰ δὲ κεῖναι ἐπιρρήδην καλέονται.
Ἀλκυόνη, μερόπη τε, κελαινώ τ' ἠλέκτρη τε,
Καὶ στερόπη, καὶ τηϋγέτη, καὶ πότνια μαῖα.
Αἱ μὲν ὁμῶς ὀλίγαι καὶ ἀφεγγέες, ἀλλ' ὀνομασταὶ
Ἦρι καὶ ἑσπέριαι, ζεὺς δ' αἴτιος, εἱλίσσονται,
Ὅς σφισι καὶ θέρεος καὶ χείματος ἀρχομένοιο
Σημαίνειν ἐκέλευσεν, ἐπερχομένου τ' ἀρότοιο.
Καὶ χέλυς, ἥτ' ὀλίγη. τὴν δὲ ἄρ' ἔτι καὶ παρὰ λίκνῳ
Ἑρμείας ἐτόρησε. λύρην δέ μιν εἶπε λέγεσθαι.
Κὰδ δ' ἔθηκε προπάροιθεν ἀπευθέος εἰδώλοιο
Οὐρανὸν εἰσαγαγών. τὸ δ' ὑπὸ σκελέεσσι πέτηλον
Γούνατί οἱ σκαιῷ πελάει. κεφαλὴ γε μὲν ἄκρη
Ἀντιπέρην ὄρνιθος ἑλίσσεται. ἡ δὲ μεσηγὺ 8
Ὀρνιθέης κεφαλῆς καὶ γούνατος ἐστήρικται.
Ἤτοι γὰρ καὶ ζηνὶ παρατρέχει αἰόλος ὄρνις.

Ἀλλ'

Pleiades feruntur:nec uerò adeò ſpacioſus u-
niuerſas
Locus cõtinet:atque ipſæ inſpiciẽdo languidę.
Septemgradæ autem eæ ab hominibus cele-
brantur,
Sex ſolæ quamuis exiſtant conſpicuæ oculis.
Nec certè unquam periјt ignota ex cœlo ſtella,
Ex quo à primordio audimus : ſed planè fa-
buloſe
Dicitur. porrò ſeptem illæ nominatim uo-
cantur,
Alcyone,Meropeq́;,Celęnoq́;,Electraq́;,
Et Sterope,& Taygeta,& ueneranda Maia.
Hæ quidem ſimul modicæ & obſcuræ: tamen
celebres
Mane & ueſpertinæ (Ioue autore) circuma-
guntur:
Qui eis æſtatem & hyemem inſtantem
Significare præcepit,aduenientemq́; arationẽ.
Præterea teſtudo,quæ parua:quam etiamdum
ad cunam
Mercurius compegit: Liram uerò eam iuſsit
uocari.
Collocauit autem ante ignotum idolum,
In cœlum trãsferens.atq; in cruribus uolatile
Genu ei ſiniſtro appropinquat. caput certè
ſummum
8 E` regione cygni circũuoluitur: illa uerò inter
Cygninum caput & genu ſita eſt.
Porrò etiam in cœlo uolat uarius ales:
Verùm

Ἀλλ' ὁ μὲν ἠερόεις. τὰ δέ οἱ ὑποτετρήχυνται
Ἄστρασιν, ὅτι λίην μεγάλοις, ἀτὰρ ὁ μὲν ἀφαυ-
ροῖς.
Αὐτὰρ ὅγ' εὐδιόωντι ποτὴν ὄρνιθι ἐοικώς, 9
Οὔριος εἰς ἑτέρην φέρεται, καὶ δεξιὰ χειρὸς
Κηφῆος ταρσοῖο τὰ δεξιὰ πείρατα τείνων.
Λαιῇ δὲ πτέρυγι σκαρθμὸς παρακέκλιται
ἵππου.
Τὸν δὲ μετασκαίροντα δύ' ἰχθύες ἀμφινέμονται
Ἵππον. πὰρ δ' ἄρα οἱ κεφαλῇ χεὶρ ὑδροχόοιο
Δεξιτερὴ τετάνυσται. ὁ δ' ὀπίστερος αἰγοκερῆος
Τέλλεται. αὐτὰρ ὅγε πρότερος καὶ νειόθι μᾶλλον
Κέκλιται αἰγόκερως, ἵνα τρέπετ' ἠελίοιο.
Μὴ κείνῳ ἐνὶ μηνὶ περικλύζοιο θαλάσσης
Πεπταμένῳ πελάγει κεχρημένος, ὅτε κεν ἠοῖ
Πολλὴν πειρήσειας, ἐπεὶ ταχινώταταί εἰσιν,
Οὔτ' ἂν τοι νυκτὸς πεφοβημένῳ ἐγγύθεν ἠὼς
Ἔλθοι, ἢ μάλα πολλὰ βοωμένῳ. οἱ δ' ἀλεγεινοὶ
Τῆμος ἐπιρρήσσουσι νότοι ὁπότ' αἰγοκερῆϊ
Συμφέρετ' ἠέλιος. τότε δὲ κρύος ἐκ Διός ἐστι
Ναύτῃ μαλκιόωντι κακώτερον. ἀλλὰ καὶ ἔμπης
Ἤδη πάντ' ἐνιαυτὸν ὑπὸ στείρῃσι θάλασσα
Πορφύρει. ἴκελοι δὲ κολυμβίσιν αἰθυίῃσι
Πολλάκις ἐκ νηῶν πέλαγος περιπαπταίνοντες

Ἥμεθ'

Verùm is quidem obſcurus: alæ autem ei exaſperatæ ſunt
Stellis non adeò magnis, tamẽ neq; languidis.
9 Sed hic tranquillanti uolatum aui ſimilis,
A cauda in occaſum fertur, contra dexteram manum
Cephei, unguis dexteras extremitates tendẽs.
Læuæ uerò alæ ungula acclinata eſt equi:
Quem item ſubſultantem duo piſces circundant
Equum. atqui ei prope caput, manus Aquarij
Dextera extenſa eſt. is autem poſterior Capricornò
Oritur. cæterùm prior & remotè magis
Inclinatus eſt Capricornus, ubi uertitur ſolis curſus.
Haud illo in menſe fluctuoſi maris
Vaſto pelago uſus, uel certè die
Multam uiam confeceris, quoniam breuiſsimi ſunt:
Vel fortè noctu exterrito propè dies
Venerit, etiam ualde multùm clamanti. periculoſi autem
Tunc irrumpunt Auſtri, quando Capricorno
Cooritur ſol. tunc ſanè frigus ex aëre eſt
Nautæ rigenti pernicioſius. Veruntamen
Iam totum annum ſub carinis mare
Nigreſcit: Similes autem urinatoribus Mergis
Sæpenumero è nauibus mare circumſpicientes,

Sedemus

Ἥμεθ' ἐπ' αἰγιαλοῖς τετραμμένοι. οἱ δ' ἐπὶ πόρσω
Κλύζονται. ὀλίγον δὲ διὰ ξύλον ἄϊδ' ἐρύκει.
Καὶ δ' ἂν ἔτι προτέρῳ γε θαλάσσῃ πολλὰ πεπονθὼς,
Τόξον ὅτ' ἠέλιος καίῃ καὶ ῥυτῆρα τόξου,
Ἑσπέριος κατάγοιο, πεποιθὼς οὐκέτι νυκτί.
Σῆμα δέ τοι κείνης ὥρης καὶ μηνὸς ἐκείνου
Σκορπίος ἀντέλλων εἴη πυμάτης ἔτι νυκτός.
Ἤ τοι γὰρ μέγα τόξον ἀνέλκεται ἐγγύθι κέντρου
Τοξευτής. ὀλίγον δὲ παροίτερος ἵσταται αὐτοῦ
Σκορπίος ἀντέλλων. ὁ δ' ἀνέρχεται αὐτίκα μᾶλλον.
Τῆμος καὶ κεφαλὴ κυνοσουρίδος ἀκρόθι νυκτὸς
Ὕψι μάλα τροχάει. ὁ δὲ δύεται ἠῶθι πρὸ
Ἀθρόος ὠρίων, κηφεὺς δ' ἀπὸ χειρὸς ἐπ' ἰξύν.
Ἔστι δέ τις προτέρω βεβλημένος ἄλλος ὀϊστὸς
Αὐτὸς ἄτερ τόξου. ὁ δέ οἱ παραπέπταται ὄρνις
Ἀσσότερον Βορέω. σχεδόθεν δέ οἱ ἄλλος ἄητης,
Οὐ τόσος μεγέθει. χαλεπός γέ μὲν ἐξ ἁλὸς ἐλθεῖν
Νυκτὸς ἀπερχομένης. καί μιν καλέουσιν ἀητόν.
Δελφὶς δ' οὐ μάλα πολλὸς ὑπερτρέχει αἰγοκερῆι

Sedemus ad littora conuersi: illa uerò adhuc procul
Alluuntur. modicum autem lignum mortem prohibet.
At uerò in priore mense mari multa passus,
Arcum quando sol incendat, & rectorē arcus,
Sub uesperam nauem reducito, fidens non amplius nocti.
Indicium autem tibi illius temporis, & mensis illius,
Scorpius exoriens esto extrema sub nocte:
Quandoquidem magnum arcum attrahit propè aculeum
Sagittarius, sed aliquantum anterior consistit ipso
Scorpius exoriens: ille uerò ascendit confestim admodum.
Tū quoq; caput Cynosuræ in extremo noctis
Excelsè ualde fertur; occidit autem ante matutinum
Cumulatus Orion: Cepheus uerò à manu ad lumbum.
Est item quædam ulterius iacta alia sagitta,
Ipsa absq; arcu: atq; illi aduolitat Cygnus
Propius Boreæ. uicinè item ei alius ales,
Non tantus magnitudine tempestuosus sanè mare egrediendo,
Nocte decedente: atq; ipsum uocant Aquilā.
Delphinus autem non admodum magnus appropinquat Capricorno,

S Medio

Μεσόθεν ἠερόεις. τὰ δέ οἱ ποτὶ τέσσαρα κεῖται
Γλήνεα, παρβολάδην δύο, πὰρ δύο πε-
πτηῶτα.
Καὶ τὰ μὲν οὖν βορέω καὶ ἀλήσιος ἠελίοιο
Μεσσηγὺς κέχυται. τὰ δὲ νειόθι τέλλεται ἄλλα
Πολλὰ μεταξὺ νότοιο καὶ ἠελίοιο κελεύθου.
Λοξὸς μὲν ταύροιο τομῇ ὑποκέκλιται αὐτὸς
Ὠρίων. μὴ κεῖνον ὅτις καθαρῇ ἐπὶ νυκτὶ
Ὑψοῦ πεπτηῶτα παρέρχεται, ἀλλὰ πεποίθοι
Οὐρανὸν εἰσανιδὼν προφερέστερα θηήσασθαι.
Τοῖος καὶ φρουρὸς ἀειρομένῳ ὑπὸ νώτῳ
Φαίνεται ἀμφοτέροισι κύων ὑπὸ ποσσὶ βεβηκὼς
Ποικίλος. ἀλλ' οὐ πάντα πεφασμένος, ἀλλὰ κατ'
αὐτὴν
Γαστέρα κυάνεος περιτέλλεται. ἡ δέ οἱ ἄκρη
Ἀστέρι βέβληται δεινῷ γένυς. ὅς ῥα μάλιστα
Ὀξέα σειριάει. καί μιν καλέουσ' ἄνθρωποι
Σείριον. οὐκέτι κεῖνον ἅμ' ἠελίῳ ἀνιόντα
Φυταλιαὶ ψεύδονται ἀναλδέα φυλλιόωσαι.
Ῥεῖα γὰρ οὖν ἔκρινε διὰ στίχας ὀξὺς ἀΐξας,
Καὶ τὰ μὲν ἔρρωσε, τῶν δὲ φλόον ὤλεσε
πάντα.
Κείνου καὶ κατιόντος ἀκούομεν. οἱ δέ οἱ ἄλλοι
Σῆμ' ἔμμεναι μελέεσιν ἐλαφρότεροι περίκεινται.

Ποσσὶ

Medio obſcurus : quatuor uerò ei circumia-
cent
Stellæ,adiectim duæ,iuxta duæ uolantes.
Atque hæc quidem Boream & uagationem
ſolis
Interfuſa ſunt.Porrò remotè oriuntur alia
Multa inter Auſtrum & ſolis orbitam.
Obliquus quidem Tauri ſectioni ſubiacet ipſe
Orion.non illum quis ſerena in nocte
Sublimè uolitantem præterit:ſed confidat
Cœlum intuens promptius contemplari.
Telis & cuſtos elato ſub dorſo
Lucet ambobus Canis ſub pedibus ſiſtens
Varius:at non penitus illuſtratus, uerùm cir-
ca ipſum
Ventrē obſcurus obuerſatur : ſed ei ſummum
Stella inſignitum eſt feruida mentum, quæ
quidem maximè
Vehementer excitát : atque ipſum uocant ho-
mines
Sirium.non amplius illum cum ſole orientem
Arbores fallunt ſine humore frondentes.
Facile ſiquidem diſcernit per ordines acutus
penetrans:
Et quaſdam conſolidat,quarundam uerò cor-
ticem perdit omnem.
Illum etiam occidentem ſentimus. cæterum ei
aliæ
Quæ ſignum ſint membris, languidiores cir-
cumiacent.

Ποσσὶ δ' ὠρίωνος ὑπ' ἀμφοτέροισι λαγωὸς
Ἐμμενὲς ἤματα πάντα διώκεται. αὐτὰρ ὅγ' αἰεὶ
Σείριος ἐξόπιθεν φέρεται μετιόντι ἐοικὼς,
Καί οἱ ἐπαντέλλει, καί μιν κατιόντα διώκει.
Ἡ δὲ κυνὸς μεγάλοιο κατ' οὐρὴν ἕλκεται ἀργὼ
Πρυμνόθεν. οὐ γὰρ τῇ γε κατὰ χρέος εἰσὶ κέλευθοι,
Ἀλλ' ὄπιθεν φέρεται τετραμμένη. οἷα καὶ αὐταὶ
Νῆες, ὅταν δὴ ναῦται ἐπιστρέψωσι κορώνην
Ὅρμον ἐσερχόμενοι, τὴν δ' αὐτίκα πᾶς ἀνακόπτει
Νῆα, παλιρροθίη δὲ καθάπτεται ἠπείροιο.
Ὡς ἥγε πρύμνηθεν ἰησονὶς ἕλκεται ἀργώ.
Καὶ τὰ μὲν ἠερίη καὶ ἀνάστερος, οἷα παρ' αὐτὸν
Ἱστὸν ἀπὸ πρώρης, φέρεται. τὰ δὲ πᾶσα φαεινή.
Καί οἱ πηδάλιον κεχαλασμένον ἐστήρικται
Ποσσὶν ὑπ' οὐραίοισι κυνὸς προπάροιθεν ἰόντος.
Τὴν δὲ, καὶ οὐκ ὀλίγον περ ἀπόπροθι πεπτηυῖαν
Ἀνδρομέδην, μέγα κῆτος ἐπερχόμενον κατεπείγει.
Ἡ μὲν γὰρ θρηΐκος ὑπὸ πνοιῇ Βορέαο
Κεκλιμένη φέρεται. τὸ δέ οἱ νότος ἐχθρὸν ἀγινεῖ
Κῆτος, ὑπὸ κριῷ τε καὶ ἰχθύσιν ἀμφοτέροισιν,
Βαιὸν ὑπὲρ ποταμοῦ βεβλημένον ἀστερόεντος.
Οἷον γὰρ κἀκεῖνο θεῶν ὑπὸ ποσσὶ φορεῖται

Pedibus autem Orionis ſub ambobus Lepus
Inceſſãter omnibus diebus fugatur.at ſemper
Sirius à tergo fertur inſequenti ſimilis:
Etiam ei cooritur, atq; ipſum occidentem inſectatur:
At Canis magni cõtra caudam uoluitur Argo
A puppi:non enim huic ex more ſunt curſus,
Sed retrò agitatur uerſa:ceu etiam ipſæ
Naues cùm nautæ inuertunt roſtrum,
Portum appellentes,atque ſubitò quilibet reſulcat
Nauem, retrograda uerò attingit continentem:
Sic à puppi Iaſonico trahitur Argo.
Atq; quibuſdam in partibus obſcura & ſine ſtellis (ſicut ad ipſum
Malum à prora)fertur:in alijs uerò tota ſplendida.
Etiam ei gubernaculum ſubmiſſum fultum eſt
Pedibus ſub poſteris Canis antecedentis.
Cæterùm (etſi admodum eminus uolitantem)
Andromedam grandis cetus aduenĩas urget.
Porrò hæc Thracij ſub uentum Boreæ
Inclinata fertur: at ei Auſter infeſtum circumagit
Cetum,ſub Arieteq; & Piſcibus ambobus,
Paululum ſuper fluuio iacentem ſtellato.
(Mirum nanque quales etiam illę deorum ſub pedibus ferantur

Λέιψανον ἠειδανοῖο πολυκλαύστου ποταμοῖο.
Καὶ τὸ μὲν ὠρίωνος ὑπὸ σκαιὸν πόδα τείνει.
Δεσμοὶ δ' οὐραῖοι, τοῖς ἰχθύες ἄκροι ἔχονται,
Αμφω συμφορέονται ἀπ' οὐραίων κατιόντες,
Κητέος δ' ὄπιθεν λοφιῆς ἐπιμὶξ φορέονται,
Εἰς ἓν ἐλαυνόμενοι, ἑνὶ δ' ἀστέρι πειραίνονται
Κήτεος, ὅς κείνου πρώτῃ ἐπίκειται ἀκάνθῃ.
Οἱ δ' ὀλίγῳ μέτρῳ, ὀλίγῃ δ' ἐγκείμενοι αἴγλῃ,
Μεσσόθι πηδαλίου καὶ κήτεος εἰλίσσονται,
Γλαυκοῦ πεπτηῶτες ὑπὸ πλευρῇσι λαγωοῦ,
Νώνυμοι. οὐ γάρ τοί γε τετυγμένου εἰδώλοιο
Βεβλέαται μελέεσιν ἐοικότες, οἷά τε πολλὰ
Εξείης, στιχόωντα παρέρχεται αὐτὰ κέλευθα
Ανυμένων ἐτέων. τά τις ἀνδρῶν οὐκ ἔτ' ἐόντων
Εφράσατ' ἠδ', γνόησεν ἅπαντ' ὀνομαστὶ καλέσσαι,
Ηλιθα μορφώσας. οὐ γάρ κε δυνήσατο πάντων
Οἶά τ' ἐκεκριμένων ὄνομ' εἰπεῖν, οὐδὲ δαῆναι.
Πολλοὶ γὰρ πάντῃ, πολέων δ' ἐπὶ ἶσα πέλονται
Μέτρα τε καὶ χροιὴ, πάντες γε μὲν ἀμφιέλικτοι.
Τῷ καὶ ὁμηγερέας γε ἐείσατο ποιήσασθαι
Αστέρας, ὄφρ' ἐπὶ τάξ ἄλλῳ παρακείμενος ἄλλος

Εἴδεα

Reliquiæ Eridani luctuosi fluuij)
Etiam hic quidem Orionis sub sinistrum pedem tendit.
Vincula autem caudina, quibus Pisces extremi tenentur,
Ambo coëunt à caudis descendentes,
Beluinum uerò post dorsum commixtim feruntur,
In unum ducta: unica etiam stella terminantur
Ceti, quæ eius primæ insidet spinæ.
Quæ autem modica magnitudine, modico item insitæ fulgori
In medio gubernaculi & Ceti uoluuntur,
Glauci uolutantes sub lateribus Leporis,
Ignotæ sunt: non enim illæ conflati simulacri
Sparsæ sunt membris similes, qualia multa
Ex ordine incedētia perābulant easdē semitas
Completis annis: quæ quispiam hominum non amplius superstitum
Obseruauit, & excogitauit uniuersa nominatim appellare.
Cumulatim imaginatus: non enim potuit omnium
Ceu distinctarū nomen dicere, neq; discere.
Multæ nanque passim, multarum insuper æquales existunt
Magnitudinesq; & color: omnes utique circumuolubiles.
Quare & simul collectas uisum fuit facere
Stellas, ut ordinatim aliæ adiacens alia

Εἴδεα σημαίνοιεν, ἄφαρ δ' ὀνομαστὰ γένοιντο
Ἄστρα. καὶ οὐκέτι νῦν ὑπὸ θαύματι τέλλεται ἀστήρ.
Ἀλλ' οἱ μὲν καθαροῖς ἐναρηρότες εἰδώλοισι
Φαίνονται. τὰ δ' ἔνερθε διωκομένοιο λαγωοῦ
Πάντα μάλ' ἠερόεντα, καὶ οὐκ ὀνομαστὰ φέρονται.
Νειόθι δ' αἰγοκερῆος ὑπὸ πνοιῇσι νότοιο
Ἰχθῦς ἐν κῆτος τετραμμένος ἠώρηται,
Οἶος ἀπὸ προτέρων. νότιον δέ ἑ κικλήσκουσιν.
Ἄλλοι δὲ σποράδην ὑποκείμενοι ὑδροχοῆι
Κήτεος αἰθερίοιο καὶ ἰχθύος ἠερέθονται
Μεσσόθι νωχελέες καὶ ἀνώνυμοι. ἐγγύθι δέ σφων
Δεξιτερῆς ἀπὸ χειρὸς ἀγαυοῦ ὑδροχόοιο,
Οἵη τίς τ' ὀλίγη χύσις ὕδατος ἔνθα καὶ ἔνθα
Σκιδναμένου, χαροποὶ καὶ ἀναλδέες εἱλίσσονται.
Ἐν δέ σφιν δύο μᾶλλον ἀειδόμενοι φορέονται
Ἀστέρες, οὔτε τι πολλὸν ἀπήοροι, οὐδὲ μάλ' ἐγγύς,
Εἷς μὲν ὑπ' ἀμφοτέροισι ποσὶ καλός τε μέγας τε
Ὑδροχόου, ὁ δὲ κυανέου ὑπὸ κήτεος οὐρῆ.
Τοὺς πάντας καλέουσιν ὕδωρ. ὀλίγοι γε μὲν ἄλλοι
Νειόθι τοξευτῆρος ὑπὸ προτέροισι πόδεσσι
Δινωτοὶ κύκλοι περιηγέες εἱλίσσονται.

Imagines effigiarent, moxq; nominabilia fierent
Astra. atq; haud amplius nunc cum admiratione oritur stella,
Sed hæ quidem conspicuis insignitæ imaginibus
Cernuntur. Porrò subter impetitum Leporem
Omnia planè obscura sunt, & sine nomine feruntur,
Infra autem Capricornum sub flatibus Austri
Piscis contra Cetum uersus in alto natat,
Vnicus præter priores: Austrinum autem ipsum appellant.
Aliæ autem sparsim subiectæ Aquario
Cetum cœlestem & Piscem pendent
Inter, languidæ & ignotæ. at iuxta eas
Dextera à manu splendidi Aquarij,
(Qualis quædam fusio aquæ huc & illuc
Sparsæ) uisui gratiosæ & debiles circumuoluuntur.
Inter ipsas autem duæ magis firmæ feruntur
Stellæ, nec multum distantes, neq; admodum uicinæ,
Vna quidem sub ambobus pedibus pulchraq; magnaq;
Aquarij, altera uerò obscuri sub Ceti cauda:
Quas omnes uocant aquam. Paruæ profectò aliæ
Vltra sagittarium sub prioribus pedibus
Volubiles coronæ circumactæ uoluuntur.

Αὐτὰρ ὑπ' αἰθομένῳ κέντρῳ τέραος μεγάλοιο
Σκορπίου ἄγχι νότοιο θυτήριον αἰωρεῖται.
Τοῦ δή τοι ὀλίγον μὲν ἐπὶ χρόνον ὑψόθ' ἐόντος
Πεύσεαι, ἀντιπέρην γὰρ ἀείρεται ἀρκτούροιο.
Καὶ τῷ μὲν μάλα πολλὰ μετήοροί εἰσι κέλευθοι
Ἀρκτούρῳ, τὸ δὲ θᾶσσον ὑφ' ἑσπερίην ἅλα νεῖται.
Ἀλλ' ἄρα καὶ περὶ κεῖνο θυτήριον ἀρχαίη νὺξ,
Ἀνθρώπων κλαίουσα πόνον, χειμῶνος ἔθηκεν
Εἰνάλιον μέγα σῆμα. κεδαιόμεναι γὰρ ἐκείνῃ
Νῆες ἀπὸ φρενός εἰσι. τὰ δ' ἄλλοθεν ἄλλα πιφαύσκει
Σήματ' ἐποικτείρουσα πολυῤῥοθίους ἀνθρώπους,
Τῷ μή μοι πελάγει νεφέων εἰλυμένον ἄλλων
Εὔχεο μεσσόθι κεῖνο φανήμεναι οὐρανῷ ἄστρον,
Αὐτὸ μὲν ἀνέφελόν τε καὶ ἀγλαὸν, ὕψι δὲ μᾶλλον
Κυμαίνοντι νέφει πεπιεσμένον, οἷά τε πολλὰ
Θλίβετ' ἀνατέλλοντος ὀπωρινοῦ Βορέαο.
Πολλάκι γὰρ καὶ τοῦτο νότῳ ἔπι σῆμα τιτύσκει
Νὺξ αὐτὴ, μογεροῖσι χαριζομένη ναύτῃσιν.
Οἱ δ' εἰ μέν κε πίθωνται ἐναίσιμα σημαινούσῃ,
Αἶψά τε κοῦφά τε πάντα, καὶ αὖ τι ποιήσωνται,
Αὐτίκ' ἐλαφρότερος πέλεται πόνος. εἰ δέ κε νηῒ
Ὑψόθεν ἐμπλήξῃ δεινὴ ἀνέμοιο θύελλα

Αὔτως

At ſub flagrante aculeo monſtri magni
Scorpij, prope Auſtrum, Ara in cœlo pendet.
Quam certè modicum quidem ad tempus in
alto exiſtentem
Senties: è regione enim eleuatur Arcturi:
At huic quidem admodum multùm ſublimes
ſunt uiæ
Arcturo, illa uerò citius ſub ueſperum mare
redit.
Sed & per hanc Aram primæua Nox,
Hominum deplorans calamitatem, tempeſta-
tis fecit
Marinum certum ſignum: periclitantes enim
illi
Naues dolori ſunt. alicunde item alia docet
Signa, commiſerans diſiectatos homines.
Idcirco ne mihi pelago, nubibus obductis
alijs,
Opta in medio hoc apparere cœlo aſtrum,
Ἢ εἴ που μελανεῖ, καί σοι τὰ μὲν ὕδατος ἔστω
Σήματα μέλλοντος, τὰ δ' ἐρεύθεα πάντ' ἀ-
νέμοιο.
Εἴ γε μὲν ἀμφοτέροις ἄμυδις κεχρωσμένος εἴη,
Καί κεν ὕδωρ φορέοι, καὶ ὑπηνέμιος τανύ-
οιτο.
Εἰ δέ οἱ ἀνιόντος, ἢ αὐτίκα δυομένοιο
Ἀκτῖνες συνίωσι καὶ ἀμφ' ἑνὶ πεπλήθωσι,
Ἤ ποτε καὶ νεφέων πεπιεσμένος ἢ ὅτ' ἂν ἠὼς
Ἔρχηται παρὰ νυκτὸς, ἢ ἐξ ἠοῦς ἐπὶ νύκτα,
Ὕδατί κεν κατιόντι παρατρέχει ἤματα κεῖνα.

Μὴ

Occumbatq; innubilus, blando postmeridianus fulgore,
Equidem subsequente aurora adhuc serenus fuerit:
At non, quando cauus apparens exoriatur,
Neq; quando ex radijs quidam Austrum, quidam Boream
Scissi tangant, media autem lucida sint:
Sed tum uel pluuiam ostendit, uel uentum.
Aspice autem, si etiam subeant radij solis,
Ipsum in solem: huius enim obseruationes optimæ sunt,
Si quando uel rubor incidit, ut sæpe
Attractis nubibus rubescit alicunde aliter,
Aut si quando nigrescet: & tibi hæc quidem pluuiæ sunto
Signa futuræ, rubea uerò omnia, uenti.
Porrò si ambobus simul coloratus fuerit.
Et sanè pluuiam ferret, & uentis obnoxius panderetur.
Si uerò eius orientis, aut uicissim occidentis
Radij coëant, & circa unum locum crassescant,
Aut quandoque nubibus pressus, uel cùm ad auroram
Veniat à nocte, uel ab aurora ad noctem,
Pluuijs delabentibus peraguntur dies illi.

Μὴ δ' ὅτε οἱ ὀλίγη νεφέλη πάρος ἀντέλλῃσι,
Τὴν δὲ μετ' ἀκτίνων κεχρημένος αὐτὸς ἀερθῇ,
Αμνηστεῖν ὑετοῖο. πολὺς δ' ὅτε οἱ περὶ κύκλος
Οἷον τηκομένῳ ἐναλίγκιος εὐρύνηται
Πρῶτον ἀνερχομένοιο, καὶ ἂψ ἐπὶ μεῖον ἴῃσι,
Εὔδιός κε φέροιτο. καὶ εἴποτε χείματος ὥρῃ
Ωχρήσῃ κατιών. ἀτὰρ ὕδατος ἡμερινοῖο
Γινομένου κατόπισθε περὶ νέφεα σκοπέεσθαι,
Καὶ δὴ δυομένου τετραμμένος ἠελίοιο,
Ην μὲν ὑποσκιάῃσι μελαινομένη εἰκυῖα
Ηέλιον νεφέλη, ταὶ δ' ἀμφί μιν ἔνθα καὶ ἔνθα
Ακτῖνες μεσσηγὺς ἑλισσόμεναι διχόωνται,
Ητ' ἂν ἔτ' εἰς ἠῶ σκέπαος κεχρημένος εἴης.
Εἰδ' ὁ μὲν ἀνέφελος βάπτοι ῥόον ἑσπερίοιο,
Ταὶ δὲ κατερχομένου νεφέλαι καὶ οἰχομένοιο
Πλησίον ἑστήκωσιν ἐρευθέες, οὔ σε μάλα χρὴ
Αὔριον οὐδ' ἐπὶ νυκτὶ περιτρομέειν ὑετοῖο.
Αλλ' ὁπότ' ἠελίοιο μαραινομένῃσιν ὁμοῖαι
Εξαπίνης ἀκτῖνες ἀπ' οὐρανόθεν τανύονται,
Οἷον ἀμαλδύνονται ὅτε σκιάῃσι κατ' ἰθὺ
Ισταμένη γαίης τε καὶ ἠελίοιο σελήνη,

οὐδ'

Nec item, cùm ei modica nubes præoriatur,
Hanc uerò pòst radijs uariatus ipse eleuatus fuerit,
Immemor esto pluuiæ. Magnus autem cùm eius circum orbis
Flore flaccescenti similis dilatetur
Primùm exorientis, & mox decrescat,
Serenus sanè agatur: etiam si quando pluuiæ tempore
Palluerit occumbens. At pluuia diurna
Facta, postea nubes circumspicito:
Atque occidentem conuersus ad solem,
Si quidem obscuret nigricanti similis
Solem nubes, circum ipsam autem hinc inde
Radij interuoluti findantur,
Certè adhuc in auroram operimento indigus esses.
At si hic quidem innubilus se submergat fluxu uespero,
Descendenti uerò nubes & abeunti
Viciniè existant rubicundæ, haud te ualde oportet
Cras, neque per noctem timere de pluuia.
Verùm quando solis marcescentibus similes
Extemplo radij à cœlo protenduntur
(Sicut euanescunt quando obumbret ex directo
Stans terræque & solis luna)

Οὐδ' ὅτε οἱ ἐπέχοντι φαινόμεναι ἠῶθι πρὸ
Φαίνονται νεφέλαι ὑποερευθέες ἄλλοθεν ἄλλαι,
Ἄρραντοι γίνονται ἐπ' ἤματι κείνῳ ἄρουραι.
Μὴ δ' αὔτως ἔτ' ἐόντι πέρην, ὁπότε προταθεῖ-
σαι
Ἀκτῖνες φαίνονται ἐπίσκιοι ἠῶθι πρὸ,
Ὕδατος ἢ ἀνέμοιο κατισομένου λελαθέσθαι.
Ἀλλ' εἰ μὲν κεῖναι μᾶλλον κνέφας φορέοιντο
Ἀκτῖνες, μᾶλλόν κεν ἐφ' ὕδατι σημαίνοιεν.
Εἰ δ' ὀλίγος τανύοιτο περὶ δνόφος ἀκτίνεσσιν,
Οἷόν που μαλακαὶ νεφέλαι φορέουσι μάλιστα,
Ἦτ' ἂν ἐπερχομένοιο περιδνοφέοιντ' ἀνέμοιο.
Οὐδέ μὲν ἠελίου σχεδόθεν μελανοῦσαι ἅλωαι,
Εὔδιοι, ἀσσότεραι δὲ καὶ ἀστεμφὲς μελανοῦσαι,
Μᾶλλον χειμέριαι. δύο δ' αὖ χαλεπώτεραί εἰ-
σι.
Σκέπτεο δ' ἢ ἀνιόντος ἢ αὐτίκα δυομένοιο,
Εἴπου οἱ νεφέων, τὰ παρήλια κικλήσκονται,
Ἢ νότου ἠὲ βορῆος ἐρεύθεται. ἢ ἑκάτερθεν.
Μὴ δ' οὕτω σκοπιὴν ταύτην ἀμενηνὰ φυλάσ-
σειν.
Οὐ γὰρ ὅτ' ἀμφοτέρωθεν ὁμοῦ περὶ μέσσον ἔ-
χωσιν
Ἠέλιον κεῖναι νεφέλαι, σχεδὸν ὠκεανοῖο,

Γίγνεται

Neque, quando ei moranti lucere ante auroram,
Apparent nubes ſubrubeæ, alibi alia,
Arida fiunt in die illo arua.
Neq; pari modo adhuc exiſtenti infernè quando prætenſi
Radij apparent obſcuri ante auroram,
Pluuiæ autem uenti irruituri obliuiſcere.
Porrò ſi illi magis caligine inuoluantur
Radij, magis certè de pluuia monerent.
Sin autem modica extendatur caligo circum radios,
Qualem nonnunquam teneræ nubes ferunt maximè,
Certè adueniente obtenebrari ſolent uento.
Neque quidem prope ſolem nigreſcentes coronæ,
Sereni: uiciniores uerò & impenſe nigreſcentes,
Magis tempeſtuoſi: duo item ſæuiores fuerint.
Conſidera autem, uel orientis, uel uiciſsim occidentis
Sicubi eius nubes, quas parelia uocant,
Aut ab auſtro aut borea rubeſcant, aut utrinq;:
Neque adeò obſeruationem hanc friuolè cuſtodi:
Non enim, cùm utrinq; ſimul medium circundent
Solem illæ nubes prope Oceanum,

Γίγνεται ἀμβολίη διόθεν χειμῶνος ἰόντος.
Εἴγε μὲν ἐκ Βορέαο μί' οἴη φοινίσσοιτο,
Ἐκ Βορέω πνοιάς κε φέροι· νοτίη δὲ, νότοιο.
Ἢ καί που ῥαθάμιγγος ἐπιτροχόωσ', ὑετοῖο.
Ἑσπερίοις καὶ μᾶλλον ἀληθέα τεκμήραιο.
Ἑσπερόθεν γὰρ ὁμῶς σημαίνεται ἐμμενὲς αἰεί.
Σκέπτεο καὶ φάτνην, ἡ μέν τ' ὀλίγῃ ἐοικυῖα
Ἀχλύϊ, Βορραίῃ ὑπὸ καρκίνῳ ἡγηλάζει.
Ἀμφὶ δέ μιν δύο λεπτὰ φαεινόμενοι φορέονται
Ἀστέρες, οὔτε τι πολλὸν ἀπήοροι, οὔτε μάλ' ἐγγὺς,
Ἀλλ' ὅσσον τε μάλιστα πυγούσιον οἰήσασθαι.
Εἷς μὲν Βορρείαο, νότῳ δ' ἐπέρχεται ἄλλος.
Καί τοι μὲν καλέονται ὄνοι, μέσση δέ τε φάτνη.
Ἥτε καὶ ἐξαπίνης πάντῃ Διὸς εὐδιάοντος
Γίνετ' ἄφαντος ὅλη, τοὶ δ' ἀμφοτέρωθεν ἰόντες
Ἀστέρες ἀλλήλων αὐτοσχεδὸν ἰνδάλλονται.
Οὐκ ὀλίγῳ χειμῶνι τότε κλύζονται ἄρουραι.
Εἰ δὲ μελαίνηται, τοὶ δ' αὐτίκ' ἐοικότες ὦσιν
Ἀστέρες ἀμφότεροι, περί χ' ὕδατι σημαίνοιεν.

Fit dilatio è cœlo pluuiæ uenientis.
Si uerò è Borea una sola rubescat,
E' Borea flatus ferre solet: austrina uerò, austro:
Aut sicubi guttæ decidant, pluuiæ.
Occidentalibus etiam magis certa deprehenderes.
Ab occidente nanque signa sumuntur inuariabiliter semper.
Intuere quoque præsepe. id quidem tenui simile
Nubeculæ, boreale sub Cancro uersatur:
At circa ipsum duæ parum lucentes feruntur
Stellæ, nec multùm distantes, neque ualde uicinè,
Sed quàm maximè cubitum puta:
Vna quidem Boreæ est, Austro uerò appropinquat altera:
Atque hæ quidem uocantur asini; medium autem præsepe est:
Quod etiam confestim cœlo sereno
Fit euanidum totum: atque utrinque coëuntes
Stellæ sibiinuicem uicinè apparent:
Non modica tempestate tunc inundant arua.
Si autem nigrescat, rursus uerò eodem colore existant
Stellæ ambæ, de pluuia sanè signum dare solent.

Si uerò

Εἰ δ' ὁ μὲν ἐκ βορέω φάτνης ἀμενηνὰ φαείνῃ
Λεπτὸν ἐπαχλυόων, νότιος δ' ὄνος ἀγλαὸς εἴη,
Δειδέχθαι ἀνέμοιο νότου. Βορέω δὲ μάλα χρὴ
Ἔμπαλιν ἀχλυόεντι. φαεινομένῳ τε, δοκεύειν.
Σῆμα δέ τοι ἀνέμοιο καὶ οἰδαίνουσα θάλασσα
Γιγνέσθω, καὶ μακρὸν ἐπ' αἰγιαλοὶ βοόωντες,
Ἀκταί τ' εἰνάλιοι, ὁπότ' εὔδιοι ἠχήεσσαι
Γίγνονται, κορυφαί τε βοώμεναι ὄρεος ἄκραι.
Καὶ δ' ἂν ὠδῆ ξηρὴν ὅτ' ἐρωδιὸς οὐ κατὰ κόσμον
Ἐξ ἁλὸς ἔρχηται, φωνῇ περὶ πολλὰ λεληκώς,
Κινυμένου κε θάλασσαν ὑπερφορέοιτ' ἀνέ-
μοιο.
Καί ποτε καὶ κέπφοι, ὁπότ' εὔδιοι ποτέωνται,
Ἀντία μελλόντων ἀνέμων εἰληδὰ φέρονται.
Πολλάκι δ' ἀγριάδες νῆσσαι, ἢ εἰν ἁλὶ δῖναι
Αἴθυιαι χερσαῖα τινάσσονται πτερύγεσσιν.
Ἡ νεφέλη ὄρεος μηκύνεται ἐν κορυφῇσιν.
Ἤδη καὶ πάπποι λευκῆς γήρειον ἀκάνθης,
Σῆμ' ἐγένοντ' ἀνέμου, κωφῆς ἁλὸς ὁππότε πολ-
λοὶ
Ἄκρον ἐπιπλείωσι, τὰ μὲν πάρος, ἄλλα δ' ὀ-
πίσω.
Καὶ θέρεος βρονταί τε καὶ ἀστραπαὶ ἔνθεν ἴωσιν,
Ἔνθεν ἐπερχομένοιο περισκοπέειν ἀνέμοιο.

Καὶ

Si uerò hic qui est è Borea præsepis languidè splendeat
Modicè tenebrascens, austrinus uerò asellus lucidus sit,
Obseruato uentum Austrum: Boream uerò ualde oportet
Econtra tenebrascente, lucenteq́, obseruare:
Atqui signum uenti etiam intumescens mare,
Esto, & multum margines insonantes,
Littoraq́ marina, cùm serena arguta
Fiunt, cacuminaq́ sonantia montis summa.
Quinetiam ad terram cùm ardeola non ritè
E mari ueniat, uoce multum perstrepens,
Commoto sanè mare superferatur uento.
Interdum etiam fulicæ, cùm serenæ uolitent,
Contra futuros uentos glomeratim feruntur.
Sæpe item feræ anates, aut in mari urinatores
Mergi terras quatiunt alis:
Aut nubes montis elongatur in uerticibus.
Iam etiam decidui flores, albi senium cardui,
Indicium fiunt uenti, muti maris quando multi
Summum supernatent, partim antè, partim pòst.
Etiam æstatis tonitruaq́ & fulgura unde eant,
Inde aduenientem obserua uentum.

Item

Καὶ διὰ νύκτα μέλαιναν ὅτ' ἀστέρες ἀίσσωσι
Ταρφέα, τοὶ δ' ὄπιθεν ῥυμοὶ ὑπολευκαίνων-
ται,
Δειδέχθαι κείνοις αὐτὴν ὁδὸν ἐρχομένοιο
Πνεύματος. εἰ δέ κεν ἄλλοι ἐναντίοι ἀίσσωσιν
Ἄλλοι δ' ἐξ ἄλλων μερέων, τότε δὴ πεφύλαξο
Παντοίων ἀνέμων, οἵ τ' ἄκριτοί εἰσι μάλιστα,
Ἄκριτα δὲ πνείουσιν ἐπ' ἀνδράσι τεκμή-
ρασθαι.
Αὐτὰρ ὅτ' ἐξ εὔροιο καὶ ἐκ νότου ἀστράπτῃσιν,
Ἄλλοτε δ' ἐκ ζεφύροιο, καὶ ἄλλοτε πὰρ βορέαο,
Δὴ τότε τις πελάγει ἔνι δείδιε ναυτίλος ἀνήρ.
Μή μιν τῇ μὲν ἔχῃ πέλαγος, τῇ δ' ἐκ Διὸς ὕδωρ
Ὕδατι γὰρ τοσαίδε περὶ σοροπαὶ φορέονται.
Πολλάκι δ' ἐρχομένων ὑετῶν νέφεα προπάροι-
θεν
Οἷα μάλιστα πόκοισιν ἐοικότα ἰνδάλλονται,
Ἢ διδύμοι ἔζωσε διὰ μέγαν οὐρανὸν ἶρις,
Ἤ καί πού τις ἅλωα μελαινομένῳ ἔχει ἀστήρ.
Πολλάκι λιμναῖαι ἢ εἰνάλιαι ὄρνιθες
Ἄπληστον κλύζονται ἐνιέμεναι ὑδάτεσσιν,
Ἢ λίμνην περὶ δηθὰ χελιδόνες ἀίσσονται
Γαστέρι τύπτουσαι αὔτως εἰλυμένον ὕδωρ,
Ἢ μᾶλλον δειλαὶ γενεαί, ὕδροισιν ὄνειαρ,

Item per noctem atram cùm stellæ præcipites
ruant
Crebrò, à tergo uerò tractus subalbescant,
Accipito per illas eadem uia uenientem
Ventum. Sin autem aliæ contrariò ruant
Alijs ex alijs partibus, tunc utique obseruato
Omniuarios uentos, qui confusi sunt maximè,
Confusè item spirant hominibus obseruãdo.
Cæterùm cùm ex Euro & ex Austro fulguret,
Tum etiam è Zephyro, & interdum à Borea,
Certè tunc quispiam in pelago timuerit nauita:
Velim ne ipsum partim teneret pelagus, partim cœli pluuia:
Super pluuia enim tot fulgura feruntur.
Sæpenumero item uenientibus pluuijs nubes prius
Vt plurimùm uelleribus similes apparent,
Aut gemina circumcingit magnum cœlum
iris,
Vel etiamnum aliqua aream nigricantem habet stella:
Sæpe palustres aut marinæ aues
Insaturabiliter se immergunt, desiderantes
aquam:
Aut paludem circum hirundines agitantur
Ventre uerberantes in cassum conuolutam
undam:
Aut magis miseræ progenies, hydris esca,
Indidem

Αὐτόθεν ἐξ ὕδατος πατέρες βοόωσι γυρίνων.
Η τρύζει ὀρθεινὸν ἐρημαίη ὀλολυγὼν,
Η που καὶ λακέρυζα παρ' ἠιόνι προὐχούσῃ
Χείματος ἀρχομένου χέρσῳ ὑπέκυψε κορώνη,
Η που καὶ ποταμοῖο ἐβάψατο μέχρι παρ' ἄκρους
Ωμους ἐκ κεφαλῆς, ἢ καὶ μάλα πᾶσα κολυμβᾷ,
Η πολλὴ στρέφεται παρ' ὕδωρ παχέα κρώζουσα.
Καὶ βόες ἤδη τοι πάρος ὕδατος εὐδίοιο,
Οὐρανὸν εἰσανιδόντες, ἀπ' αἰθέρος ὠσφρήσαντο.
Καὶ κοίλης μύρμηκες ὀχῆς ἐξ ὤεα πάντα
Θᾶσσον ἀνηνέγκαντο. καὶ ἀθρόοι ὤφθεν ἴουλοι
Τείχη ἀνέρποντες, καὶ πλαζόμενοι σκώληκες
Κεῖνοι, τοὺς καλέουσι μελαίνης ἔντερα γαίης.
Καὶ τιθαὶ ὄρνιθες, ταὶ ἀλέκτορος ἐξεγένοντο,
Εὖ ἐφθειρίσαντο, καὶ ἔκρωξαν μάλα φωνῇ,
Οἷόν τε σταλάων ψοφέει ἐπὶ ὕδατι ὕδωρ.
Δή ποτε καὶ γενεαὶ κοράκων, καὶ φῦλα κολοιῶν,
Υδατος ἐρχομένοιο Διὸς πάρα σῆμ' ἐγένοντο,
Φαινόμενοι ἀγεληδὰ, καὶ ἰρήκεσσιν ὁμοῖον
Φθεγξάμενοι. καί που κόρακες δίους σταλαγμοὺς
Φωνῇ ἐμιμήσαντο σὺν ὕδατος ἐρχομένοιο.

Ηποτε

Indidem ex aqua patres coaxant ranularum:
Aut ululat manè solitaria bubo:
Aut alicubi etiam garrula ad littus prominens
Tempestate instante terræ subsidit cornix:
Etiam si quando flumini se immergit usque ad summos
Humeros à capite, uel etiam planè tota subternatat,
Vel frequens uersatur prope undam crassè crocitans.
Etiam boues iam ante pluuiam cœlestem,
Cœlum intuiti, ab æthere mox sentiunt.
Etiam cauo formicæ foramine oua omnia
Ocyus efferunt: atque cumulatim cernuntur iuli,
Muros asserpentes: atq; obeuntes uermes
Illi, quos uocant atræ intestina terræ.
Etiam pulli uolucres, quæ gallo prognatæ sunt,
Studiosè pedunculos quærunt, pipiuntq́; maiore uoce,
Sicut stillans strepit super aquam aqua.
Quandoque etiam genera coruorum, & turmæ graculorum,
Pluuiæ uenientis è cœlo signum fiunt,
Visi gregatim, & accipitrum instar
Garrientes. Etiamnum corui magnas guttas.
Voce imitantur simul pluuia ueniente:

Ἤποτε καὶ κρώξαν τε βαρείῃ διοσάκι φωνῇ
Μακρὸν ἐπιῤῥοιζεῦσι τιναξάμενοι πτερὰ πυκνά.
Καὶ νῆσσαι οἰκουροί, ὑπωρόφιοί τε κολοιοί,
Ἐρχόμενοι κατὰ γεῖσα, τινάσσονται πτερύγεσσιν.
Ἢ ἐπὶ κῦμα θέει ἐρωδιὸς ὀξὺ λεληκώς.
Τῶν τοι μηδὲν ἀπόβλητον πεφυλαγμένῳ ὕδωρ
Γινέσθω. μηδ' εἴ κεν ἐπὶ πλέον ἠὲ πάροιθεν
Δάκνωσι μυῖαι, καὶ ἐφ' αἵματος ἱμείρονται.
Ἢ λύχνοιο μύκητες ἀγείρονται περὶ μύξαν
Νύκτα κατὰ σκοτίην. μηδ' ἢν ὑπὸ χείματος ὥρῃ
Λύχνων ἄλλοτε μέν τε φάος κατὰ κόσμον ὀρώρῃ,
Ἄλλοτε δ' ἀΐσσωσιν ἄπο φλόγες, ἠύτε κοῦφαι
Πομφόλυγες. μηδ' εἴ κεν ἐπ' αὐτόφι μαρμαίρωσιν
Ἀκτῖνες. μηδ' ἢν θέρεος μέγα πεπταμένοιο
Νησαῖοι ὄρνιθες ἐπασσύτεροι φορέωνται.
Μηδὲ σύ γ' ἢ χύτρης ἠὲ τρίποδος πυριβήτεω,
Σπινθῆρες ὅτ' ἔωσι περιπλέονες, λελαθέσθαι.
Μηδὲ κατὰ σποδιὴν ὁπότ' ἄνθρακος αἰθομένοιο
Λάμπηται περὶ σήματ' ἐοικότα κεγχρείοισιν.
Ἀλλ' ἐπὶ καὶ τὰ δόκευε περισκοπέων ὑετοῖο.

Εἴ γε μὲν

Vel quandoq; etiam crocitantes graui congemina uoce,
Multum constrepitant quatientes alas frequentes.
Etiam anates pulli, domesticiq; graculi,
Venientes super pinnacula, quatiunt alis:
Aut ad aquam festinat ardea acutè uociferans.
Quorum tibi nullum friuolum obseruanti pluuiam
Esto. Nec item si amplius quàm antè
Mordeant muscæ, & sanguinem desiderent:
Aut lucernæ fungi congregentur circa labium
Noctem per caliginosam: Neque si sub hyemis tempore
Lucernarum aliàs quidem lumen debitè moueatur,
Aliàs uerò delabantur flammæ, ceu leues
Ampullæ: Neque si ad ipsam lucernam splendeant
Radij: Neq; si æstate multum uolitante
Anates aues accumulatiores obuersentur:
Neq; tu si ab olla aut tripode in igne stante
Scintillæ cùm fuerint perplures obliuiscere:
Neq; per cinerem quando carbone ardente
Splendeant circumcirca signa similia cenchris:
Sed ad hæc etiam spectato obseruans pluuiam.

Εἴ γε μὲν ἠερόεσσα πάρεξ ὄρεος μεγάλοιο
Πυθμένα τείνηται νεφέλη, ἄκραι δὲ κολῶναι
Φαίνωνται καθαραὶ, μάλα κεν τόθ' ὑπεύδιος εἴης.
Εὔδιος κ' εἴης, καὶ ὅτε πλατέος παρὰ πόντου
Φαίνηται χθαμαλὴ νεφέλη, μὴ δ' ὑψόθι κύρῃ,
Ἀλλ' αὐτοῦ πλαταμῶνι παραθλίβηται ὁμοίη.
Σκέπτεο δ' εὔδιος μὲν ἐὼν ἐπὶ χείματι μᾶλλον,
Εἰς δὲ γαλήναίην χειμωνόθεν, εὖ δὲ μάλα χρὴ
Ες φάτνην ὁράαν, τὴν καρκίνος ἀμφιελίσσει,
Πρῶτα καθαιρομένην πάσης ὑπένερθεν ὀμίχλης.
Κείνη γὰρ φθίνοντι καθαίρεται ἐν χειμῶνι.
Καὶ φλόγες ἡσύχιαι λύχνων, καὶ νυκτερίη γλαὺξ
Ἡσύχιον ἀείδουσα, μαραινομένου χειμῶνος
Γινέσθω τοι σῆμα. καὶ ἥσυχα ποικίλλουσα
Ὥρῃ ἑσπερίῃ κρώζῃ πολύφωνος κορώνη.
Καὶ κόρακες μοῦνοι μὲν ἐρημαῖοι βοόωντες
Δισσάκις, αὐτὰρ ἔπειτα μεταθρόα κεκλήγοντες,
Πλειότεροι δ' ἀγεληδὸν ἐπὴν κοίτοιο μέδωνται
Φωνῆς ἔμπλειοι. χαίρειν καί τις οἴσοιτο,

Οἷα

Cæterùm ſi obſcura per montis magni
Vallem extendatur nebula, ſumma uerò cacumina
Appareant pura, ualde tunc ſerenus fueris.
Serenus ſanè fueris etiam quando uaſtum circa pontum
Videatur humilis nebula, neque in alto exiſtat,
Sed inibi planiciei maritimæ deprimatur ſimilis.
Reſpice uerò ſerenus cùm ſis ad tempeſtatem magis:
Ad ſerenitatem uerò è tempeſtate. diligenter uerò oportet
Ad præſepe reſpicere, quod Cancer circumuoluit,
Recens purgatum ab omni ſubtus nebula:
Illud nanque pereunte purgatur ſub tempeſtate.
Etiam flammæ quietæ lucernarum, & nocturna noctua
Tranquillè canens, marceſcentis tempeſtatis
Eſto tibi ſignum, & tranquillè uarians
Tempore ueſpertino crocitet garrula cornix.
Item corui priuati & ſolitarij uociferantes
Ingeminanter, at poſtea turmatim clamitantes,
Frequentius uerò congregati, quando cubilis memores ſint
Voce pleni: lætari etiam quis putauerit:

Οἷα τὰ μὲν βοόωσι λιγαινομένοισιν ὁμοῖα.
Πολλὰ δὲ δενδρείοιο ποτὶ φλόον, ἄλλοτ' ἐπ' αὐτόν
Ηχῇ τε κείουσιν, καὶ ὑπότροποι ἀπορρύονται.
Καὶ δ' ἄν που γέρανοι μαλακῆς, προπάροιθε γαλήνης
Ασφαλέως τανύσαιεν ἕνα δρόμον ἤλιθα πᾶσαι,
Οὐδὲ παλιρρόθιοί κεν ὑπεύδιοι φορέοιντο.
Ημος δ' ἀστρόθεν καθαρὸν φάος ἀμβλώκηται.
Οὐδέποθεν νεφέλαι πεπιεσμέναι ἀντιόωσιν,
Οὐδέποθεν ζόφος ἄλλος ὑποτρέχῃ, οὐδὲ σελήνη.
Αλλὰ τά γ' ἐξαπίνης αὔτως ἀμενηνὰ φέρονται,
Μηκέτι τοι τόδε σῆμα γαληναίης ἐπικείσθω,
Αλλ' ἐπὶ χεῖμα δόκευε. καὶ ὁππότε ταὶ μὲν ἐῶσιν
Αὐτῇ ἐν χώρῃ νεφέλαι, ταὶ δ' ἄλλαι ἐπ' αὐταῖς,
Ταὶ μὲν ἀμειβόμεναι, ταὶ δ' ἐξόπιθεν φορέονται.
Καὶ χῆνες κλαγγηδὸν ἐπειγόμεναι βρωμοῖο.
Χειμῶνος μέγα σῆμα καὶ ἐννεάγηρα κορώνη
Νύκτωρ ἀείδουσα καὶ ὀψὲ βοῶν τε κολοιοί,
Καὶ σπίνος ἠῷ ἀπίζων, καὶ ὄρνεα πάντα

Εκ πε-

Sic enim uociferantur iucundantium in morem.
Sæpe item arboris per ramos, quandoque super ipsam
Vbi cubant, etiam reduces alas excutiunt.
Præterea grues blandam ante serenitatem
Securè pandere solent unicum uolatum gregatim omnes,
Neq; retroacti sereni ferri solent.
Cùm autem è stellis lucidus fulgor hebetetur,
Neq; alicunde nubes pressæ obuient,
Neque alicunde caligo alia succedat, neque luna,
Sed astra extemplò planè languida ferantur,
Non amplius tibi hoc signum ad serenitatem ponatur,
Sed ad tempestatem specta. Etiam quandò quædam existant
Eodem in loco nubes, aliæ uerò iuxta ipsas,
Hæ quidem prætereuntes, illæ uerò à tergo ferantur.
Etiam an seres cum clangore festinantes ad pastum.
Tempestatis certum signum etiam nouem ætates uiuens cornix
Noctu cornicans: & serò clamantes monedulæ:
Et passer manè pirpitans: & uolucres omnes

Ἐκ πελάγευς φεύγοντα, καὶ ὀρχίλος, ἢ καὶ ἐριθεὺς
Δύνων ἐς κοίλας ὀχεὰς, καὶ φῦλα κολοιῶν
Ἐκ νομοῦ ἐρχόμενα τραφεροῦ ὕπερ ὄψιον αὖλιν,
Οὐδ' αὖ ἀπέξεσθαι μεγάλου χειμῶνος ἰόντος
Πρόσσω ποιήσαντο νομὸν κηροῖο μέλισσαι,
Ἀλλ' αὐτοῦ μέλιτός τε καὶ ἔργων εἱλίσσονται.
Οὐδ' ὑψοῦ γεράνων μακραὶ στίχες αὐτὰ κέλευθα
Τείνονται, στροφάδες δὲ παλιμπετὲς ἀγνεῦνται.
Μὴ δ' ὅτε νηνεμίῃ ἐν ἀράχνια λεπτὰ φέρηται,
Καὶ φλόγες αἰθύσσωσι μαραινομένοιο λύχνοιο,
Ἢ πῦρ ἅπτηται σπουδῇ, καὶ ὑπεύδια λύχνα,
Πιστεύειν χειμῶνι. τί τοι λέγω ὅσσα πέλονται
Σήματ' ἐπ' ἀνθρώπους; δὴ γὰρ καὶ ἀεικεῖ τέφρῃ
Αὐτοῦ πηγνυμένῃ νιφετοῦ ἐπιτεκμήραιο,
Καὶ λύχνῳ χιόνος, κέγχροις ὅτ' ἐοικότα πάντῃ
Κύκλῳ σήματ' ἔχει πυριλαμπέος ἐγγύθι μύξα
Ἄνθρακι δὲ ζώοντι χαλάζης, ὁππότε λαμπρὸς
Αὐτὸς ἐείδηται, μέσσῳ δέ οἱ ἠΰτε λεπτὴ
Φαίνηται νεφέλη, πυρὸς ἔνδοθεν αἰθομένοιο.
Πρῖνοι δ' οὐ καρποῖο καταχθέες, οὐδὲ μέλαιναι
Σχῖνοι,

È mari fugientes: & orchilus: & erithacus
Subiens caua foramina: & turmæ graculo-
rum
A paſtu uenientes ſicco ad ſerotinum lu-
ſtrum.
Neque ſanè ſufflauæ, magna tempeſtate in-
ſtante,
Antè facere ſolent pabulum faui apes,
Sed intus melleq́ꝫ & ſtructuris occupantur.
Neque in alto gruum elongati ordines eaſ-
dem uias
Tendunt, conuerſi uerò reuolanter abſi-
ſtunt.
Neqꝫ, quando in uentorum tranquillitate ara-
neæ graciles ferantur,
Et flammæ flagrent marceſcentis lucernæ,
Aut ignis lambat cinere, & ſerenæ lucernæ,
Crede tempeſtati. Quid tibi refero quęcunque
ſunt
Indicia per homines? Siquidem uel uili cinere
Ipſam concreto niuem obſerues licet:
Etiam per lucernam niuem, milio cùm ſimiles
undiqꝫ
Circumcirca notas habet candicans prope el-
lychnium:
Carbone autem ardente, grandinem, quando
candens
Ipſe uideatur, in medio uerò ipſo uelut tenuis
Appareat nebula, igne intus candente.
Nec uerò ilices fructu onuſtæ, neqꝫ nigræ

Σχῖνοι, ἀπείρητοι. πάντη δέ τε πολλὸς ἀλωεὺς
Αἰεὶ παπταίνει, μή οἱ θέρος ἐκ χερὸς ἔρρῃ.
Πρῖνοι μὲν θαμινῆς ἀκύλου κατὰ μέτρον ἔχουσαι,
Χειμῶνός κε λέγοιεν ἐπὶ πλέον ἰσχύσοντος.
Μηδὲ ἄδην ἔμπλαγα περιβρίθοιεν ἁπάντῃ,
Τηλοτέρω δ' αὐχμοῖο συνασταχύοιεν ἄρουραι.
Τριπλόα δὲ σχῖνος κυέει. τρισσαὶ δέ γε αὖξαι
Γίνονται καρποῖο. φέρει δέ τε σήματ' ἑκάστη
Ἑξείης ἀρότῳ. καὶ γάρ τ' ἀροτήσιον ὥρην
Τριπλόα μείρονται, μέσσην, καὶ ἐπ' ἀμφότερ' ἄκρας.
Πρῶτος μὲν πρώτην ἄροσιν, μέσσος δέ τε μέσσην
Καρπὸς ἀπαγγέλλει, πυμάτην γε μὲν ἔσχατος ἄλλων.
Ὅν τινα γὰρ κάλλιστα λοχαίη σχῖνος ἀρῆται,
Κείνῳ γ' ἐξ ἄλλων ἄροσις πολυλήϊος εἴη,
Τῷ δέ γ' ἀφαυροτάτῳ, ὀλίγη· μέσσῳ δέ τε, μέσση.
Οὕτως δ' ἀνθέρικος τριχθὰ σκύλλης ὑποφανθεὶς,
Σήματ' ἐπιφράσσασθαι ὁμοίϊον ἀμήτοιο.
Ὅσσα δ' ἐπὶ σχίνου ἀροτὴρ ἐπεφράσσατο καρπῷ,
Τόσσα καὶ ἐν σκύλλης τεκμαίρεται ἄνθεϊ λευκῷ.

Αὐτὰρ

Lentiſci ſine ſigno ſunt. Paſsim autem frequens aquila
Cõtinuò circũſpicit, nec ei æſtas è manu fluat.
Ilices quidem frequentis glandis non parum ferentes,
Hyemem certè nunciare ſolent haud leuiter inualeſcentem.
Neque nimis inſolenter grauidæ fiant undiquaquam:
Sed magis procul à ſqualore ſpicis compleantur arua.
Tribus uicibus uerò lentiſcus fœtificat: tria item incrementa
Fiunt fructus: fert autem indicia quoduis
Ex ordine arationi: Etenim arandi tempus
Trifariàm diuidunt, medium, & utrinque extremum:
Primus quidem primam arationem, medius uerò mediam
Fructus denunciat, ultimam autem ultimus aliorum.
Quem enim pulcherrimè fœtificans lentiſcus tulerit,
Illi præ alijs aratio frugifera extiterit:
Minutiſsimo uerò, modica: at medio, media.
Sic etiam flos trifariàm ſcyllæ cùm ſuperetur,
Signa aduertito ſimiliter meſsis.
Quæcunque uerò in lentiſci arator obſeruauit fructu,
Eadem etiam in ſcyllæ deprehendit flore albo.

Sed

Αὐτὰρ ὅτε σφῆκες μετοπωρινὸν ἤλιθα πολλοὶ
Πάντῃ βεβρίθωσι καὶ ἑσπερίων προπάροιθεν
Πληϊάδων, ἅ ποι τις ἐπερχόμενον χειμῶνα,
Οἷος ἐπὶ σφήκεσσιν ἑλίσσεται αὐτίκα δῖνος.
Θήλειαι δὲ σύες. θήλεια δὲ μῆλα, καὶ αἶγες,
Ὁππότ' ἀναστραφῶσιν ὀχῆς, τάδε γ' ἄρρενα πάντα
Δεξάμεναι πάλιν αὖτις ἀναβλήδην ὀχέωνται,
Αὔτως καὶ σφήκεσσι μέγαν χειμῶνα λέγοιεν.
Ὀψὲ δὲ μισγομένων αἰγῶν μήλων τε συῶν τε,
Χαίρει ἄνολβος ἀνήρ, ὁ οἱ οὐ μάλα θαλπιόωντι
Εὔδιον φαίνουσι βιβαιόμεναι ἐνιαυτόν.
Χαίρει καὶ γεράνων ἀγέλαις ὡραῖος ἀροτρεὺς
Ὥριον ἐρχομέναις. ὁ δ' ἀώριος αὐτίκα μᾶλλον.
Αὔτως γὰρ χειμῶνες ἐπέρχονται γεράνοισι,
Πρώϊα μὲν μᾶλλον καὶ ὁμιλαδὸν ἐρχομένῃσι,
Πρώϊον, αὐτὰρ ὅτ' ὀψὲ καὶ οὐκ ἀγεληδὰ φανεῖσαι
Πλειότερον φορέονται ἐπὶ χρόνον, οὐδ' ἅμα πολλαί,
Ἀμβολίῃ χειμῶνος ὀφέλλεται ὕστερα ἔργα.
Εἰ δὲ βόες καὶ μῆλα μετὰ βρίθουσαν ὀπώρην
Γαῖαν ὀρύσσωσι, κεφαλὰς δ' ἀνέμοιο βορῆος
Ἀντία τείνωσιν, μάλα κεν τότε χείμερον αὐταὶ

Πληϊάδες

Sed cùm uespæ autumni tempore glomeratim multæ
Passim constipatæ fuerint, etiam uespertinas ante
Pleiades, dixerit quis subsecuturam hyemem,
Qualis in uespis conglomeratur itidē turbo.
Fœminæ item sues, fœminæ oues, & capræ
Cùm redeant à pastu, maribus omnibus
Admissis, rursus mutuò coëant:
Ex hoc & uespis multam hyemem prædicere solent.
Tardè autem coëuntibus capris, ouibusq́;, suibusq́;
Gaudet pauper uir, quia ei parum calenti
Serenum monstrant coactæ annum.
Gaudet etiam gruum cateruis tempestiuus arator
Tempestiuè uenientibus: intempestiuus uerò è diuerso magis:
Pari modo enim hyemes consequūtur grues,
Citò quidem magis & constipatim uenientes,
Citò: sed quando serò & non gregatim uisæ
Maius uolant ad tempus, neq; simul multæ,
Dilatio hyemis promouet serotina opera.
Sin autem boues & oues post plenum autumnum
Terram cornupetant, capita uerò uentum Boream
Contra tendant, ualde tunc tempestuosam ipsæ

Pleiades

Πληϊάδων χειμῶνα κατερχομένας φορέοιεν.
Μηδὲ λίην ὀρύχοιεν, ἐπεὶ μέγας οὐ κατὰ κόσ-
μους
Γίνεται, ὅτε φυτοῖς χειμὼν φίλος, οὔτ' ἀρότοι-
σιν.
Ἀλλὰ χιὼν εἴη πολλὴ μεγάλαις ἐπ' ἀρούραις,
Μήπω κεκριμένη, μηδὲ βλωθρῇ, ἐπὶ ποίῃ,
Ὄφρα τις εὐετοῖ χαίρῃ ποτιδέγμενος ἀνήρ.
Μηδ' εἶεν καθ' ὕπερθεν ἐοικότες ἀστέρες αἰεί,
Μήθ' εἷς, μήτε δύω, μηδὲ πλέονες κομόωντες.
Πολλοὶ γὰρ κομόωσιν ἐπ' αὐχμηρῷ ἐνιαυτῷ.
Οὐδὲ μὲν ὀρνίθων ἀγέλαις ἠπειρόθεν ἀνὴρ
Ἐκ νήσων ὅτε πολλαὶ ἐπιπλήσσωσιν ἀρούραις
Ἐρχομένου θέρεος χαίρει. περιδείδιε δ' αἰνῶς
Ἀμήτῳ, μὴ οἱ κενεὸς καὶ ἀχυρμιὸς ἔλθῃ
Αὐχμῷ ἀχθήεις. χαίρει δέ που αἰπόλος ἀνὴρ
Αὐταῖς ὀρνίθεσσιν, ἐπὴν κατὰ μέτρον ἴασιν,
Ἐλπόμενος μετέπειτα πολυγλαγέος ἐνιαυ-
τοῦ.
Οὕτω γὰρ μογεροὶ καὶ ἀλήμονες ἄλλοθεν ἄλ-
λοι
Ζώομεν ἄνθρωποι. τὰ δὲ πὰρ ποσὶ πάντες
ἕτοιμοι
Σήματ' ἐπιγνῶναι, καὶ ἐς αὐτίκα ποιήσασθαι.

Ἀρνάσι

Pleiades hyemem occidentes afferre solent.
Ne uerò nimium fodiant: quoniam magna & immoderata
Fit, neque plantis hyems grata, neque arationibus:
Sed nix esto multa spaciosis in aruis,
Nedum discreta, neq; grandi in segete,
Quò quilibet anni feracitate gaudere posiit fruens uir.
Nec item fuerint desuper uisæ stellæ semper
Vel una, uel duæ, uel plures comatæ:
Multæ enim comantur in arido anno.
Neque quidem uolucrum agminibus in continente degens uir
Ex insulis cùm multæ irruant arua
Veniente tempestate gaudet: timet uerò anxiè
Messi, ne ei uacua & sine granis ueniat
Squalore læsa: gaudet uerò opilio
Ipsis uolucribus, cùm non omnino paucæ ueniant,
Spem capiens sequentis lacte abundantis anni.
Sic enim ærumnosi & instabiles alibi alij
Viuimus homines: atque ea quæ ante pedes sunt omnes parati
Signa cognoscere, & in posterum capere.

Ἄρνασι μὲν χειμῶνας ἐτεκμήραντο νομῆες,
Ἐς νομὸν ὁππότε μᾶλλον ἐπειγόμενοι τροχόωσιν.
Ἄλλοι δ᾽ ἐξ ἀγέλης κριοὶ, ἄλλοι δὲ καὶ ἀμνοὶ
Εἰνόδιοι παίζωσιν ἐρειδόμενοι κεράεσσιν.
Ἢ ὁπότ᾽ ἄλλοθεν ἄλλοι ἀναπλήσσωσι πόδεσσι,
Τέτρασιν οἱ κοῦφοι, κεραοί γε μὲν ἀμφοτέροισιν.
Ἢ καὶ ὅτ᾽ ἐξ ἀγέλης ἀεκούσια κινήσωσι
Δείελον εἰσελάοντες ὁμῶς, τὰ δὲ πάντοθι ποίης
Δάκνωσιν πυκνῇσι κελευόμενα λιθάκεσσιν.
Ἐκ δὲ βοῶν ἐπύθοντ᾽ ἀρόται καὶ βουκόλοι ἄνδρες
Κινυμένου χειμῶνος. ἐπεὶ βόες ὁππότε χηλὰς
Γλώσσῃ ὑπωμαίοιο ποδὸς περιλιχμήσωνται,
Ἢ κοίτῳ πλευρὰς ἐπὶ δεξιτερὰς τανύσωνται,
Ἀμβολίην ἀρότοιο γέρων ἐπέλπετ᾽ ἀροτρεύς.
Ἠδ᾽ ὅτε μυκηθμοῖο περίπλειοι ἀγέρωνται,
Ἐρχόμεναι σταθμὸν δὲ βόες βουλύσιον ὥρην,
Σκυθραὶ, λειμῶνος πόριες καὶ βουβοσίοιο,
Αὐτίκα τεκμαίρονται ἀχείμεροι ἐμπλήσεσθαι.
Οὐδ᾽ αἶγες πρίνοιο περισπεύδουσαι ἀκάνθαις,
Εὔδιοι, οὐδὲ σύες φορυτῷ ἐπιμαργαίνουσαι.
Καὶ λύκος, ὁππότε μακρὰ μονόλυκος ὠρύηται,

Ἢ ὅτ᾽

Agnis quidem tempeſtates obſeruare ſoliti ſunt paſtores
Ad pabulum cùm magis feſtinantes currant:
Alij etiam è grege arietes, alij item agnelli
In itinere ludant, innixi cornibus.
Aut quando alibi alij referiant pedibus,
Quatuor leues, cornuti uerò duobus.
Vel quando aliqui è grege inuitè moueantur
Veſpere ad ſtabulum redeuntes ſimul, ſed undique herbam
Arrodant crebris impetiti lapillis.
Sed & à bobus ſigna capere ſolent agricolæ & armentarij
Surgentis tempeſtatis: ſiquidem boues quando ungulas
Lingua poſteriorum pedum circumlingant,
Aut ſtabulo latere ſuper dextero iaceant extenti,
Ad differendam arationem peritus ſpectat arator.
Etiam quando mugientes plus ſolito congregentur
Venientes ad ſtabulum boues ueſpertino tempore,
Triſtes, è prato uitulæ & paſtu:
Tunc indicant ante tempeſtatem ſe cupere ſaturari.
Neq; capræ ilicis ſtudioſæ circum ramos,
Serenæ ſunt: neq; ſues in luto furentes.
Item lupus quando altè ſolus ab alijs eiulet,

Ἥτ' ἀροτρήων ὀλίγον πεφυλαγμένος ἀν-
δρῶν
Ἔργα κατέρχηται, σκέπαος χατέοντι ἐοικὼς
Ἐγγύθεν ἀνθρώπων, ἵνα οἱ λέχος αὐτόθεν εἴη,
Τοῖς περιτελλομένης ἠοῦς χειμῶνα δοκεύειν.
Οὕτω καὶ προτέροις ἐπὶ σήμασι τεκμήραιο
Ἐσσομένων ἀνέμων, ἢ χείματος, ἢ ὑετοῖο,
Αὐτὴν, ἢε μετ' αὐτὴν, ἢ τριτάτην ἔτ' ἐς ἠῶ.
Ἀλλὰ γὰρ οὐδὲ μύες τετριγότες, εἴποτε μᾶλλον
Εὔδιοι σκίρτησαν, ἐοικότες ὀρχηθμοῖσιν,
Ἀσκεπτοι ἐγένοντο παλαιοτέροις ἀνθρώποις.
Οὐδὲ κύνες. καὶ γάρ τε κύων ὠρύξατο ποσσὶν
Ἀμφοτέροις, χειμῶνος ἐπερχομένοιο δοκεύων.
Καὶ μὴν δὴ ὕδατος καὶ καρκίνος ὤχετο
χέρσῳ
Χειμῶνος μέλλοντος ἐπαΐσσεσθαι ὁδοῖο.
Καὶ μύες ἡμέριοι ποσσὶ στιβάδα στρωφῶντες
Κοίτης ἱμείρονται, ὅτ' ὄμβρου σήματα φαίνοι,
Κἀκεῖνοι χειμῶνα μύες τότε μαντεύονται.
Τῶν μηδὲν κατόκνησο. καλὸν δ' ἐπὶ σήματι
σῆμα
Σκέπτεσθαι. μᾶλλον δὲ δυοῖν εἰς ταὐτὸν ἰόντοιν
Ἐλπωρὴ τελέθοι. τριτάτῳ δέ κε θαρσή-
σειας.

Aut quando agricolarum parum cautus uirorum
Opera accedat, tegmine indigenti similis
Vicinè hominibus, ut ei lectus ibi sit,
Ad tertiam exorientem auroram tempestatem obserua.
Sic etiã prioribus in signis coniecturam facito
Futurorum uentorum, aut tempestatis, aut pluuiæ,
Aut præsentem, aut post præsentem, aut tertiam deniq; ad auroram.
At uerò neq; mures uociferantes, si quando frequentius
Sereni saliunt, similes tripudiantibus,
Sine significatione habiti sunt ueteribus hominibus:
Neque canes: etenim canis fodere consueuit pedibus
Ambobus, tempestatem instantem sentiens.
Quin ex aqua etiam cancer egredi solet, terra
Tempestate futura accingendo se itineri.
Etiam mures domestici lectulum sternentes
Cubitum desiderant, cùm pluuiæ signum appareat:
Et illi tempestatem mures tunc uaticinantur.
Quorum nullum fastidito. bonum uerò est cum signo signum
Obseruare: magis uerò duobus in unum tendentibus
Spes esto: tertio autem confidas licet.

Αἰεὶ δ' αὖ παριόντος ἀριθμοίης ἐνιαυτοῦ
Σήματα, συμβάλλων εἴπου καὶ ἐπ' ἀστέρι τοίη
Ἠὼς ἀντέλλοντι κατάρχεται ἢ κατιόντι
Ὀπποῖον καὶ σῆμα λέγοι, μάλα δ' ἄρκιον εἴη
Φράζεσθαι φθίνοντος, ἐφισταμένοιό τε μηνὸς
Τετράδας ἀμφοτέρας. αἱ γάρ τ' ἄμυδις συνιόντων
Μηνῶν πείρατ' ἔχουσιν, ὅτε σφαλερώτατος αἰθὴρ
Ὀκτὼ νυξὶ πέλει χήτει χαροποῖο σελήνης.
Τῶν ἄμυδις πάντων ἐσκεμμένος εἰς ἐνιαυτὸν,
Οὐδέποτε σχεδίως κεν ἐπ' αἰθέρι τεκμήραιο.

ΤΕΛΟΣ ΤΩΝ ΤΟΥ ΑΡΑΤΟΥ
ΦΑΙΝΟΜΕΝΩΝ ΚΑΙ
Διοσημειῶν.

Semper item prætereuntis numerare poteris
anni
Signa, conferens ſicubi etiam ſub ſtella talis
Aurora exoriente tranſeat, uel occidente.
Quale etiam ſignum nunciet. Impenſe uerò
idoneum fuerit
Contemplari decreſcentis inſtantisq; menſis
Quartas utraſq;: hæ enim ſimul coëuntium
Menſium terminos habent, cùm maximè dubius æther
Octo noctibus eſt defectu pulchræ affectu
Lunæ.
Quæ ſimul omnia contemplatus ad annum,
Haud unquam leuiter ſuper æthere ſignificabis.

FINIS ARATI APPARENTIVM ET
*prognoſticorum.*

# ANNOTATIONES IN ARATI SOLENSIS PHÆNOMENA ALIQVOT ANNOTATIVNculæ Ceporini.

1 TΕτυγμένα) facta faciunda: alij, euentus. Quæ quouis tempore facienda sunt prædicerent. &c.

2 ὅμιν τότε λυγίζοντα) ὅτι μιν.

3 Illud fermè caput hac natat) Caput Draconis pertingit usq; ad maximum circulum semper apparentium habitãtibus clima Macedoniæ seu Hellesponti. Sub hoc circulo miscentur extremi ortus & occasus. Nam quæ proximè sunt intra hunc circulum occidere: quæ extra, semper apparere incipiunt. Veteres Astronomi, sicut Proclus, hunc circulum Arcticum uocauêre: atq; è regione Austri maximum semper occultorum Antarcticum. At neoterici iam istos circulos per polum Zodiaci circum polum mundi descriptos intelligunt. Quo fit, ut isti duo circuli omnibus habitationibus apud iuniores stati maneant, apud ueteres secundum climatum diuersitatem uarient.

4 ἐνγόνασι) In genubus. Hoc ignotum signum alijs nominibus uocat, γνὺξ ἥμενον, αἰεὶ γνὺξ, ἐπὶ σκελέεσσι πέτηλον, κεκμηκὸς εἴδωλον, ἀπονθὲς εἴδωλον.

5 διχόμηνι) medio mense, id est plena luna, cuius luce astra obscurantur. Veteres Græci mensem augmento decremen-

decrementoq; lunæ directè apputare solebāt, sicut in Hesiodi scholijs ostendimus: unde tempore semestri semper necesse erat lunæ apparere orbem plenum.

6 ἤλασαν) Lego ἤλαξαν, pro ἔλαξαν. nunquam enim memini me legisse ἤλασαν.

7 σύλλοφ' ἀραρυῖαν) Laconicæ ianuæ comparat, quæ intus binis ualuis se claudebat: cuius mentio fit etiam apud Homerum.

8 Caput certè summum è regione Cygni circumuoluitur) Summum Cygni caput uoluitur è regione. ἀντιπέρην, absolutè.

9 εὐδιόωντι πολλῷ) Immotis alis in aëre pendenti.

10 Volubiles coronæ circumactæ uoluuntur) Eas stellas alij Coronam austrinam appellant.

11 Βορέω ὑπὸ παρατρέψει ἀνέμοιο) ὁ βορέας, τοῦ βορέα, τῷ βορέᾳ Ionicè, per synæresin βορέω: sicut τῷ αἰνέω, αἰνέω. Et subintelligendum more Attico ἐς.

12 Longi autem earum sunt reuolutarum anni: Sera item signa posita sunt, &c.) Annum Platonis indicat, de quo apud Ciceronem in Somnio Scipionis.

13 Porrò hi quidem ponuntur in cœlo similes uersatilibus quatuor, &c.) Tantùm quatuor sphæræ circulorum mentionem facit Aratus, duorum Tropicorum, Æquinoctialis, & Zodiaci: quippe cùm hi potißimùm conferant ad annorum statuta obseruanda. Quintum autem Lacteum, uelut superuacaneum subiungit.

14 Hoc sanè, quantus quantus est, per octo partes

*diuiso, Quinq; quidem diurna, &c.*) Notandum, Aratum & Proclum ad clima quintum, in quo maximus dies quindecim, minima nox nouem horarum est, suas sphæras direxisse. Cùm autem Tropicus Cancri, sicut quilibet alius circulus παράλληλος æquatori, in die naturali. id est uiginti quatuor horis, suum ambitũ conficiat, necesse erit unamquanq; de octo partibus tribus horis ortum suum absoluere. Si enim uigintiquatuor per octo diuiseris, singulis octonis tria contribuentur. Iam octo partium quinq; diei adscriptæ, quindecim horas faciũt: tres uerò nocti, nouem. Siquidem ter quinq;, quindecim producunt: ter tria uerò, nouem. Eadem ratione Tropicus Capricorni maximã noctem & minimum diẽ efficit.

15 *Hos quidem adiectim*) παρβολάδην & παραβλήδην, παραλλήλως, æquidistanter.

16 *Quantum autem ocularis radij, &c.*) Visualis linea à terra, hoc est centro mundi ad eiusdem circunferentiam ducta, sexies sexangulariter in circumferentia habetur. Id autem commodè per circinum, quo circunferentiam scripsisti, eundem inuariatum per eandem ducendo monstrabis. deinde singulas portiones in duas æquas secando, habebis δωδεκατημόριον, hoc est duodecim signa Zodiaci. Aratus uocat signa Zodiaci, μοίρας, τομὰς, δυοδεκάδας, ἄστρα, ζώδια.

17 *Minor diurnus*) Minor supra, maior uerò sub horizonte. Bootes ingens signum in septentrione lentius ad occasum tendens, quatuor signis Zodiaci, Che-

lis, Scor-

lis, Scorpio, Sagittario, & Capricorno coóccidit. Is quoque soli occumbenti condescendens, ultra mediam noctem in occasu moratur: nam quodlibet signum zodiaci duas horas occasu suo absoluit, tria uerò sex. Hic autem cum Capricorno quarto signo totus demum occumbit. Vnde noctes, in quibus uespere occidere incipit, serò occidenti dicuntur. Quin Homerus ὀψὲ δύοντα eundem appellat.

18 Concinunt enim iam) Refert Arati commentator, istis temporibus astronomos tabulas publicè in urbibus suspendisse, quibus usq; ad decimumnonum annum durantibus, quatuor anni partium initia & fines, pluuias & uentos, aliaq; ad uitam conducentia monstrabant. Præterea singulari obseruatione usos circa Orionem & Canem.

19 Etiam Neptuni conspectæ, &c.) Neptuni stellæ, quæ suo ortu uel occasu tempestatem serenitatemúe nunciant: Iouis, quæ agrorum culturam.

ANNOTATIONVM IN Arati Phænomena finis.